APOLLONII ALEXANDRINI

DE CONSTRUCTIONE

ORATIONIS

LIBRI QUATUOR

EX RECENSIONE

IMMANUELIS BEKKERI

BEROLINI,
IMPENSIS GE. REIMERI.
1817.

MAXIMILIANO SEGUERIO

BELLOVACO

HOSPITI SUO ET AMICO

D.

EDITOR.

Apollonii de constructione libros, cum Parisiis essem, recensui ad fidem librorum scriptorum quatuor, Regiorum trium, Vaticani unius. Regiorum de praestantissimo dixi, cum librum de pronomine ederem (p. 149 sive 409); reliquorum alter est 2547, qui haec habet in fine subscripta, ἐγράφη ὁ παρὼν ἀπολλώνιος παρ' ἰωακεὶμ ἱερομονάζοντος τῶν καρσύλων καὶ πρίωρος ἁγίου κόνωνος, ἐκ προτροπῆς καὶ ἀξιώσεως τοῦ διδασκάλου κυροῦ κωνσταντίνου λασκάρεως. ἐντελειώθη δὲ ἐν μηνὶ δεκεμβρίῳ ἐτ. ζδ. ἰν. ἰδ: alter 2549. Vaticanus autem, qui numeratur 1410, Apollonio subiicit Herodianum de numeris, subscriptis ab eadem manu his: ἀλέξανδρος ἀγαθήμερος πᾶν τὸ παρὸν βιβλίον ἐξεγράψα.

Vaticano similem codicem expressit primus horum librorum editor, Aldus Manutius: nam quod praedicat exemplaria se habuisse quam plurima, id nobis minus probat quam quod addit curasse se ut quam accuratissime imprimerentur neque quic-

quam ausum aut addere aut deminuere. Edidit autem Venetiis a. 1495, eodem volumine quo et Theodori Gazae grammaticam deque mensibus libellum et Herodiani de numeris commentarium.

Aldinam viginti annis post Florentiae apud Philippum Juntam renovavit Euphrosynus Boninus, artium et medicinae doctor, sed, ut ipse ait, non poetarum, non rhetorum, non grammaticorum praeceptis imbutus. Eius ego non lectionum sed mendorum gratiam feci lectoribus.

Post Juntinam una est Apollonii editio, Sylburgiana (Francofurti a. 1590). Usus autem est Sylburgius praeter Francisci Porti exemplar et Palatinae bibliothecae codice, priora 21 primi libri capita continente, et Vratislaviensi Andreae Dudithii, quem narrat pleraque omnia cum Porti libro habuisse communia, ut qui et ipse ad Michaelis Sophiani exemplar esset collatus, habuisse tamen quaedam etiam peculiaria et quae ab aliis quam a Sophiano viderentur profecta.

Scrib. Berolini d. 5. Maii a. 1817.

ΑΠΟΛΛΩΝΙΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ

ΒΙΒΛΙΑ ΤΕΣΣΑΡΑ.

ΤΩΝ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ

ΤΟ ΠΡΩΤΟΝ.

Pag. 571. burg.

Ἐν ταῖς προεκδοθείσαις ἡμῖν σχολαῖς ἡ περὶ τὰς φωνὰς παράδοσις, καθὼς ἀπῄτει ὁ περὶ αὐτῶν λόγος, κατείληπται· ἡ δὲ νῦν ῥηθησομένη ἔκδοσις περιέξει τὴν ἐκ τούτων γινομένην σύνταξιν εἰς καταλληλότητα τοῦ αὐτοτελοῦς λόγου, ἣν πάνυ προῃρημαι, ἀναγκαιοτάτην οὖσαν πρὸς ἐξήγησιν τῶν ποιημάτων, μετὰ πάσης ἀκριβείας ἐκθέσθαι. ἤδη γὰρ καὶ ἡ πρώτη ῥηθεῖσα μερὴς ὕλη τῶν στοιχείων τοῦτο πολὺ πρότερον κατεπηγγείλατο, οὐχ ὡς ἔτυχεν ἐπιπλοκὰς ποιησαμένη τῶν στοιχείων, ἀλλ' ἐν τῇ κατὰ τὸ δέον συντάξει, ἐξ ἧς σχεδὸν καὶ τὴν ὀνομασίαν εἴληχεν. ἥ τε ἐπαναβεβηκυῖα συλλαβὴ ταὐτὸ ἀνεδέξατο, εἴ γε αἱ ἐκ τούτων συντάξεις ἀναπληρούμεναι κατὰ τὸ

δέον ἀποτελοῦσι τὴν λέξιν. καὶ σαφὲς ὅτι ἀκόλουθόν ἐστι τὰ καὶ τὰς λέξεις, μέρος οὔσας τοῦ κατὰ σύνταξιν αὐτοτελοῦς λόγου, τὸ κατάλληλον τῆς συντάξεως ἀναδέξασθαι· τὸ γὰρ ἐξ ἑκάστης λέξεως παρυφιστάμενον νοητὸν τρόπον τινὰ στοιχεῖόν ἐστι τοῦ λόγου, καὶ ὡς τὰ στοιχεῖα τὰς συλλαβὰς ἀποτελεῖ κατὰ τὰς ἐπιπλοκάς, οὕτω καὶ ἡ σύνταξις τῶν νοητῶν τρόπον τινὰ συλλαβὰς ἀποτελέσει διὰ τῆς ἐπιπλοκῆς τῶν λέξεων, καὶ ἔτι ὃν τρόπον ἐκ τῶν συλλαβῶν ἡ λέξις, οὕτως ἐκ τῆς καταλληλότητος τῶν νοητῶν ὁ αὐτοτελὴς λόγος. Ἔστι γοῦν ἐκ τῶν παρεπομένων τὸ τοιοῦτον ἐπιδεῖξαι, ἐν οἷς δὶς τὸ αὐτὸ στοιχεῖον παραλαμβάνεται, ἔλλαβεν, ἔννεπεν· ἀλλὰ καὶ συλλαβή, λέλεγες, πάμπαν· ἀλλὰ καὶ λέξις,

Μῶσ' ἄγε, Μῶσα λιγεῖα,
βαρὺς βαρὺς σύνοικος.

ἀλλὰ καὶ μέχρι λόγου τὸ τοιοῦτο διήκει, ἡνίκα τὰ εἰρημένα αὖθις ἐπαναλαμβάνεται, ὁτὲ μὲν ἀναγκαίως, ὁτὲ δὲ ἐν παρολκῇ. Καὶ πλεονάζει στοιχεῖον· λέγω οὐ τὸ αὐτό· φαμὲν οὕτω. τὸ ὕδωρ τῷ δ πλεονάζει, τοῦ ὕειν ἐγκειμένου, καὶ τὸ ᾱ ἐν τῷ ἀλαλητός, ὅ περ δύναται καὶ ἐν πλεονασμῷ συλλαβῆς παραλαμβάνεσθαι, ἐπεὶ καταχρηστικώτερον αἱ μονογράμματοι ἐκφωνήσεις συλλαβαὶ εἴρηνται. φαμὲν δὲ καὶ τὰ τοιαῦτα πλεονάζειν συλλαβῇ, θήρεσσι, κύνεσσι,

λελάχωσιν, ἄλλα πλεῖστα. πλεοναζουσι δὲ καὶ λέξεις, ἔζομαι καθέζομαι, ἔπω ἐνέπω, ἀντίος ἐναντίος,

οὐ σύ γ' ἔπειτα
Τυδέος ἔκγονός ἐσσι·

ὅπου γε καὶ παραπληρωματικοὺς συνδέσμους φαμέν. φαμὲν δέ γε καὶ λόγους ποτὲ παρέλκειν πρὸς οὐδὲν συντείνοντας, εἴ γε πλείους ἀθετήσεις ὑπ' Ἀριστάρχου διὰ τοὺς τοιούτους τρόπους ἐγένοντο. Ἀλλὰ καὶ ἐναντίαι πάθη ἐνδείᾳ στοιχείου γίνεται, γαῖαν αἶαν, παρὰ τὸ σκῆπτρον ὁ σκηπτοῦχος βασιλεύς· τῇδε ἔχει καὶ παρὰ τὸ φαιδρὰς ὁ φαίδιμος· αἱ τοιαῦται παραθέσεις σχεδὸν ἀπερίληπτοί εἰσι, πάμπολλοι οὖσαι. ἀλλὰ καὶ συλλαβῆς, ἠνίκα τὸ θέλω λῶ, ἠνίκα ὁ αἰγοπόλος αἰπόλος. ἀλλὰ καὶ λέξεως, ἠνίκα ἀπαιτεῖ τὸ

ἀλλ' ὑμεῖς ἔρχεσθε
τὴν ἀπὸ πρόθεσιν, καὶ τὸ
πικρὰς ὠδῖνας ἔχουσαι·

ἡ γὰρ αὐτοτέλεια τοῦ λόγου ὡς στοιχεῖαν ἐζήτησε, τὴν παρὰ πρόθεσιν. τό τε

ἀρνειὸν δ' ἕμοιγε οἶῳ
λείπει τῷ ἄρθρῳ· ὁ γὰρ λόγος τὴν ἀναφορὰν τοῦ ἀρνὸς ἐπιζητῶν τὴν τοῦ ἄρθρου ἐνδείκνυται ἔλλειψιν. σχεδὸν δὲ ὅλη ἡ πραγματεία ἡ εἰρημένη καὶ τὰ τοιαῦτα ἅπαντα προεδιακρινεῖ, ἐπεὶ πόθεν ἐστοχάσατο Ζηνόδοτος τὸ ὦλλοι κατὰ συναλοιφὴν τοῦ ἄρθρου γράφειν, εἰ μὴ

ἐκ τῆς δεούσης συντάξεως κινούμενος; καὶ πόθεν
12 Ἀρίσταρχος οὐκ ἔλεγε μὲν πλεοναζειν τὸ ἄρ-
θρον, περιέγραφε δὲ ὡς ἐλλείποντος συνήθως
τοῖς ἄρθροις; ἔχων γοῦν ἐκεῖσε ἀφορμὴν τῆς
ἀρθρικῆς γραφῆς, ἀπαιτοῦντος τοῦ λόγου τὸ
ἄρθρον, πρὸς τὸ σύνηθες τοῦ ποιητοῦ ἐκὼν
παρεπέμψατο, ἐκδεξάμενος μᾶλλον τὸν δαί
σύνδεσμον ἥπερ τὸ αἱ ἄρθρον ἐν τῷ

πῶς δαὶ τῶν ἄλλων Τρώων;

ἐπιδεδείξεται δὲ τὰ τοιαῦτα ἐν τοῖς κατὰ μέρος. I
Προῦπτον δὲ ὅτι καὶ τὰ τοιαῦτα οὐκ ἀποκοπαί
εἰσιν, ὥς τινες ὑπέλαβον,

ἀλλ' ἄνα εἰ μέμανάς γε,
πάρα δ' ἀνὴρ ὃς καταθήσει,

ἀλλὰ πάθη λόγου ἐλλείποντος ῥήματι· πότε I
γὰρ ὅλης λέξεως ἀποκοπὴ γίνεται; μαρτυρεῖ
καὶ αὐτὸ τὸ ὄνομα τοῦ πάθους, εἴ γε πᾶσα
ἀποκοπὴ μέρος τι τοῦ ὅλου λειπόμενον ὑπαγο-
ρεύει.

Οὐκ ἀπίθανον δ' οἶμαι κἀκεῖνο παραστῆσαι.
Παρεπόμενόν ἐστιν ἴσθ' ὅτε ταῖς λέξεσι καὶ
περὶ τὰς γραφὰς ἁμαρτάνεσθαι, ἃς ἢ προφα-
νῶς ἔστι καταλαβέσθαι διὰ τῆς ἀκοῆς, ἢ
ἀδήλου τοῦ τοιούτου ὄντος ἡ κατὰ τὸν ἐπιλο-
γισμὸν ἐξέτασις κατορθοῖ, ἣν καλοῦμεν λόγον
τὸν περὶ ὀρθογραφίας. Τοιοῦτόν τι παρεπόμε-
νον ὑπολαμβάνω καὶν τοῖς λόγοις. ἐπὰν γὰρ
τὰ μὴ δέοντα τῶν λέξεων συναφθῇ, τὸ τοιοῦτο

καλοῦμεν σολοικισμόν, ὡς τῶν στοιχείων τοῦ λόγου ἀκαταλλήλως συνελθόντων. εἴπερ οὖν ἔστι μαθεῖν τἀκριβὲς τῆς γραφῆς, μαθεῖν ἄρα ἔστι καὶ τἀκριβὲς τῆς συντάξεως τοῦ λόγου.

Φαμὲν προτακτικὰ στοιχεῖα ἔν τε συμφώνοις ἔν τε φωνήεσιν. ἀλλὰ καὶ ἐν συλλαβαῖς, ἡνίκα τὴν διὰ τοῦ η καὶ ῡ προτακτικὴν συλλαβὴν ἔστιν εὑρέσθαι, καὶ ἁπάσας τὰς ἐν φωνήεσι δασείας κατὰ τὸ κοινὸν ἔθος, ὑποτακτικὰς δὲ τὰς διὰ τοῦ γμ ἢ κμ ἢ χμ· ἔτι τε λεκτικὰς μερῶν λόγου, λς, ρς, νς, ἄλλας πλείστας. ἀλλὰ καὶ ἐπὶ λέξεων τὸ αὐτό· προθέσεις γοῦν καλοῦμεν καὶ προτακτικὰ ἄρθρα καὶ ὑποτακτικὰ καὶ ἔτι ἐπιῤῥήματα, ἃ μᾶλλον ἀπὸ τῆς συντάξεως τὴν ὀνομασίαν ἔλαβεν ἢπερ ἀπὸ τοῦ δηλουμένου. Καὶ ἐν λόγῳ δὲ ἔστι τὸ τοιοῦτον εὑρέσθαι, ὁπότε τὰ ἐκ συνημμένων ἀληθεύει προλημματιζόμενα τῶν ἐπιφερομένων, ἃ περ ἔγκειται κατὰ τὴν πρώτην τοῦ λόγου συναφήν, εἰ τῇδέ τις ἀποφαίνοιτο, εἰ περιπατεῖ Διονύσιος, κινεῖται· Διονύσιος κινεῖται, εἰ περιπατεῖ. ἀντιστρέφοντος γὰρ τοῦ λόγου οὐκ ἀληθεύει τὸ ὅλον.

Στοιχεῖον ἔσθ' ὅτε εἰς δύο μερίζεται τρόπῳ συλλαβικῷ, ἥδε ἥδε· ἀλλὰ καὶ δύο εἰς ἓν συναλείφεται, βέλεα βέλη. καὶ συλλαβὴ εἰς δύο μερίζεται — λέγω τὴν κυρίως συλλαβήν —, κοῖλον κόϊλον· ἀλλὰ καὶ δύο συλλαβαὶ εἰς μίαν συ-

νίζουσιν, ἡνίκα παρὰ τὴν γήραϊ τρισύλλαβον
δισύλλαβόν φαμεν τὴν γήρᾳ, παρὰ τὴν Ἀΐδης
14 Ἄιδης. ἀλλὰ καὶ λέξεις, ἡνίκα ἡ ἀκρόπολις
πόλις ἄκρη, ἡ καλλίχορος χορῷ καλή, καὶ
ἔτι σῦν ἄγριον· ἀλλὰ καὶ τὰ διαλελυμένα
συνίζει, ὡς ὑφ' ἓν μέρος λόγου ἀνέγνωμεν τὸ
πασιμέλουσα καὶ κηρεσσιφορῆτους. Ἀλλὰ κἂν
τοῖς λόγοις οἱ παρεπόμενοι σύνδεσμοι ἔσθ' ὅ-
τε ἑνοῦσι δύο λόγους ἢ καὶ πλείους, καθά
περ οἱ συνδεόμενοι λόγοι ἐκ συνημμένων ἢ πα-
ρασυνημμένων ἢ καὶ ἔτι συμπεπλεγμένων· οἳ
πάλιν ἀποστάντες διάλυσιν τῶν λόγων ποι-
οῦνται, ὡς ἔχει τὸ

ἦομεν, ὡς ἐκέλευες, ἄνα δρυμά, φαίδιμ' Ὀ-
δυσσεῦ·
εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα
καλά.

ἔδει γὰρ συμπλέξαι τῷ καί, καὶ εὕρομεν ἐν
βήσσῃσι.

Στοιχεῖα ὑπερτίθεται, ἡνίκα ἡ καρδία
κραδία, παρὰ τὸ σκέπω τὸ σκέπος καὶ πέσκος.
ἀλλὰ καὶ συλλαβαί, ἡνίκα τὸ ἐξαπίνης ἐξαίφνης,
ἡνίκα τὸ ὄρωρεν ὤρορεν. ἀλλὰ καὶ λέξεις, ὅτε ἡ
οἰνοφόρος φερέοινος γῆ λέγεται, οἵ τε ἀνδρόγυνοι
γύνανδροι. Ἀλλὰ καὶ λόγος,

τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε,
αὐτὰρ ὁ εἶσω ἓν καὶ ὑπέρβη λαΐνον
οὐδόν.

3 Ἔτι δὲ τρόπον τῶν στοιχείων ἃ μέν ἐστι φωνήεντα, ἃ καθ' ἑαυτὰ φωνὴν ἀποτελεῖ, ἃ δὲ σύμφωνα, ἃ περ ἄνευ τῶν φωνηέντων οὐκ ἔχει ῥητὴν τὴν ἐκφώνησιν, τὸν αὐτὸν τρόπον ἔστιν ἐπινοῆσαι καὶ περὶ τῶν λέξεων. αἱ μὲν γὰρ αὐτῶν τρόπον τινὰ τῶν φωνηέντων ῥηταί εἰσι, καθά περ ἐπὶ τῶν ῥημάτων ἔστιν ἐπινοῆσαι, ὀνομάτων, ἀντωνυμιῶν, ἐπιῤῥημάτων, ἃ περ ἐπιλέγεται ταῖς γινομέναις ἐνεργείαις, ἵνίκα ἐπιφθεγγόμεθα τὸ κάλλιστα τοῖς κατὰ τὸ δέον τι ἐνεργοῦσιν, ἢ ὑγιῶς ἢ καλῶς· αἱ δὲ ὡςπερεὶ σύμφωνα ἀναμένουσι τὰ φωνήεντα, οὐ δυνάμεναι κατ' ἰδίαν ῥηταὶ εἶναι, τουτέστι τὰ προκατειλεγμένα τῶν μερῶν τοῦ λόγου, καθά περ ἐπὶ τῶν προθέσεων, τῶν ἄρθρων, τῶν συνδέσμων· τὰ γὰρ τοιαῦτα τῶν μορίων ἀεὶ συσσημαίνει, εἴ γε ἐν γενικῇ μὲν λέγομεν δι' Ἀπολλωνίου, ὡςεὶ γινώσκοντος Ἀπολλωνίου, κατὰ δὲ τὴν αἰτιατικὴν πτῶσιν δι' Ἀπολλώνιον, ὡς ἂν αὐτοῦ αἰτίου ὄντος. οἵ τε σύνδεσμοι πρὸς τὰς τῶν λόγων συντάξεις καὶ ἀκολουθίας τὰς ἰδίας δυνάμεις παρεμφαίνουσι, ὅτε συμπλεκτικῶς μὲν ἀκούεται ὅ

ἤτοι ὅ γ' ὡς εἰπὼν κατ' ἄρ' ἕζετο·

ἐν ὕσῃ γὰρ δυνάμει τοῦ μέν παρείληπται, διὸ καὶ κατὰ τὴν ἑξῆς συμπλοκὴν ἀναγκαίως ὁ δὲ ἐπηνέχθη ἐν τῷ

τοῖσι δ' ἀνέστη·

ὁτὲ δὲ διαζευκτικῶς,

ἤτοι νέος ἢ παλαιός.

τῆδε ἔχει καὶ τὰ ἄρθρα· συμφερόμενα γὰρ τοῖς ὀνόμασι τὴν ἑαυτῶν δύναμιν ἐπαγγέλλεται, οὐκ ἔχοντα δὲ τῆδε μεθίσταται εἰς τὰς καλουμένας ἀντωνυμίας, ὡς δεδείξεται ἐν τοῖς κατὰ μέρος, ἔνθα καὶ ἐπιδείξομεν τὸ αἴτιον, καθότι καὶ ἐπ' ἄλλων μερῶν τοῦ λόγου ταὐτὸ παρακολουθήσει, ὡς περ πολλάκις καὶ τὰ ὀνόματα ἐπιρρηματικῶς ἀκούεται.

Ἴσως δὲ καὶ ἡ τάξις τῶν στοιχείων ἐν λόγῳ παραλαμβανομένη τοῦ διὰ τί τὸ. ᾱ πρόκειται, εἶτα μετ' αὐτὸ τὸ β̄, ἀπαιτήσει καὶ τὴν κατὰ λόγον τῶν μερῶν τοῦ λόγου τάξιν, διὰ τί τὸ ὄνομα πρόκειται, μεθ' ὃ ἐστι τὸ ῥῆμα καὶ τὰ ὑπόλοιπα μέρη τοῦ λόγου, ὡςεὶ καὶ πάλιν ἐν ταῖς πτώσεσιν ἡ λεγομένη εὐθεῖα καὶ γενικὴ καὶ αἱ ὑπόλοιποι, ἔν τε ταῖς χρονικαῖς τομαῖς κατὰ τὰ ῥήματα ὁ ἐνεστώς, εἶτα ὁ παρατατικὸς καὶ οἱ ἑξῆς χρόνοι, ἔν τε γένεσι τὸ ἀρσενικόν, μεθ' ὃ τὸ θηλυκὸν καὶ τρίτον τὸ τούτων ἀποφατικὸν οὐδέτερον, καὶ ἐπ' ἄλλων πλείστων γε, περὶ ὧν ἰδίᾳ ποιησόμεθα συναγωγήν. κατεπεῖ ον μέντοι ἐστὶν ἕνεκα τῶν προεκκειμένων λόγων ἀντιπαραβάλλεσθαι τὴν τάξιν τῶν μερῶν τοῦ λόγου. ἴσως τινὲς ἀπειρότερον ἀναστρέφοντες περὶ τὰ τοιαῦτα τὰς ἰδίας ἀπειρίας παραμυθοῦνται, ὡς οὐ δέον περὶ τὰς τοιαύτας ζητήσεις καταγίνεσθαι,

ὑπολαβόντες τὰ τοιαῦτα κατὰ τύχην τεθεματίσθαι. ἀλλὰ τούτοις γε προσγενήσεται ἐν τοῖς καθόλου μηδὲν ἐκ τάξει παραλαμβάνειν μηδὲ παρὰ τάξιν τι ἡμαρτῆσθαι· ᾧ περ πάντη ἠλίθιον· εἰ γὰρ ἐπὶ τινῶν δοίης, ἀνάγκη καὶ ἐπὶ πάντων δοῦναι. Ἔστιν οὖν ἡ τάξις μίμημα τοῦ αὐτοτελοῦς λόγου, πάνυ ἀκριβῶς πρῶτον τὸ ὄνομα θεματίσασα, μεθ' ὃ τὸ ῥῆμα, εἴ γε πᾶς λόγος ἄνευ τούτων οὐ συγκλείεται. παρὸν γοῦν πιστώσασθαι ἐκ συντάξεως περιεχούσης τὰ μέρη τοῦ λόγου, ἐξ ἧς εἴ περ ὑποσταλήσεται ὄνομα ἢ ῥῆμα, τὰ τοῦ λόγου οὐ συγκλείεται, εἰ μέντοι πάντα τὰ ὑπόλοιπα, οὐ πάντως ἐλλείπει ὁ λόγος, ᾧ αὐτὸς ἄνθρωπος ὀλισθήσας σήμερον κατέπεσεν. ἔγκειται τὰ μέρη τοῦ λόγου παρὰ τὸν σύνδεσμον, ἐπεὶ προστεθεὶς ἕτερον λόγον ἀπαιτήσει. φέρε οὖν ἐκλεῖψαι τὸ ὄνομα ἢ τὸ ῥῆμα, καὶ ἐλλείψει ὁ λόγος, ἐπιζητῶν ὅπου μὲν τὸ ῥῆμα, ὅπου δὲ τὸ ὄνομα, ὁ αὐτὸς ὀλισθήσας σήμερον κατέπεσεν ἢ ὁ αὐτὸς ἄνθρωπος ὀλισθήσας σήμερον. εἰ μέντοι τις ὑφέλοι τὸ ἐπίῤῥημα, οὐ πάντως λείψει ὁ λόγος, ᾧ αὐτὸς ἄνθρωπος ὀλισθήσας κατέπεσεν. ἀλλ' εἰ καὶ τὴν μετοχήν, οὐδ' οὕτω λείψει, ὁ αὐτὸς ἄνθρωπος κατέπεσεν. οὐδ' εἰ τὴν πρόθεσιν, ὁ αὐτὸς ἄνθρωπος ἔπεσεν. οὐδ' εἰ τὸ ἀντωνυμικόν· λελείψεται γὰρ τὸ ὁ ἄνθρωπος ἔπεσεν. ἀλλ' οὐδ' εἰ

τὸ ἄρθρον· τὸ γὰρ ἄνθρωπος ἔπεσεν οὐ πάντως ἀναφορὰν ζητεῖ, πρώτην δ' ἀφήγησιν τοῦ ἀνθρώπου. Οὐ τοῦτο δέ φημι, ὅτι οὐχὶ καὶ ἐξ ἀντωνυμίας αὐτοτέλεια συνίσταται, ὅπου φαμὲν οὕτως, ἐγὼ περιπατῶ, σὺ περιπατεῖς. τότε γὰρ συνίσταται ἡ αὐτοτέλεια, ὅταν ἀντ' ὀνόματος παραληφθῇ ἡ ἀντωνυμία καὶ δυνάμει πάλιν ἡ αὐτὴ σύνταξις ᾖ. ὁπότε δὲ ἀνθυπάγεται ἀντωνυμία, ἐν τοῖς κατὰ μέρος εἰρήσεται, καὶ ποῖα ῥήματα πρὸς τὰς εὐθείας μόνον συναρτᾶται, καὶ τίνα αὐτῶν πλαγίας ἐπιζητεῖ.

18 Καὶ τοῦ ῥήματος δὲ ἀναγκαίως πρόκειται τὸ ὄνομα, ἐπεὶ τὸ διατιθέναι καὶ τὸ διατίθεσθαι σώματος ἴδιον, τοῖς δὲ σώμασιν ἐπίκειται ἡ θέσις τῶν ὀνομάτων, ἐξ ὧν ἡ ἰδιότης τοῦ ῥήματος, λέγω τὴν ἐνέργειαν καὶ τὸ πάθος. παρυφίσταται οὖν ἡ εὐθεῖα ἐν αὐτοῖς τοῖς ῥήμασι, κατὰ μὲν τὸ πρῶτον καὶ δεύτερον ὁριζομένη, κατὰ δὲ τὸ τρίτον διὰ τὸ ἄπειρα εἶναι τὰ τρίτα ἀοριστουμένη, χωρὶς εἰ μὴ ἐξαίρετος ἐνέργεια γένοιτο, καθά περ ἐπὶ τοῦ ἀστράπτει καὶ βροντᾷ. Κατεκράτησεν οὖν καὶ ἡ ἀπ' αὐτοῦ θέσις τὸ πάντα τὰ τοῦ λόγου μέρη καλεῖσθαι ὀνόματα, ὡς ἂν αὐτοῦ προϋφεστῶτος. εἰ γὰρ ἐκ τῶν ἐναντίων τις ἐκεῖνο ἀποφαίνοιτο, ὡς ἐκ τῆς κοινῆς ὀνομασίας τῶν λέξεων αὐτὸ ἀπηνέγκατο τὴν ἁπάντων ὀνομα-

σίαν, καὶ κατὰ τοῦτο ἂν πρωτεύοι, θέσιν τὴν πρώτην τῶν λέξεων ἐπιδεξάμενον, καθότι καὶ δείκνυμεν ὡς ἕνεκα τῆς εὑρέσεως τῶν στοιχείων πάντα τὰ στοιχεῖα παρὰ τὸ ἀλφεῖν ἠδύνατο μιᾷ ὀνομασίᾳ χρήσασθαι τῇ τοῦ ᾶ, ὅ περ ἀφείλετο τὴν πάντων ὀνομασίαν διὰ τὴν ἐν ἑαυτῷ γενομένην πρώτην θέσιν, συνδραμόντος καὶ τοῦ ἀπ' αὐτοῦ φθόγγου· συνέτρεχε γὰρ ἡ τοῦ ἀλφεῖν ἀρχὴ τῇ ἐκφωνήσει τοῦ στοιχείου, τῶν ὑπολειπομένων ἰδίας ἐπεκτάσεις εἰληφότων.

Οὐκ ἀλόγως δὲ ἐκείνῳ οἶμαί τις ἐπιστήσει, τί δή ποτε οὐχὶ μετὰ τὴν τοῦ ὀνόματος θέσιν τὸ ἀντὶ τούτου μόριον παραλαμβανόμενον ὑπετάγη, λέγω δὴ τὴν ἀντωνυμίαν, ἥ γε κατὰ ἀμοιβὴν τοῦ ὀνόματος πάλιν σὺν τῷ ῥήματι συνέχει τὸν λόγον, ἀλλὰ τὸ ῥῆμα. Περὶ οὗ ἂν προφανὴς ἀπόδειξις γένοιτο ἥδε, ὡς ἕνεκα τῆς τῶν ῥημάτων συνόδου ἐπενοήθησαν αἱ ἀντωνυμίαι. ἐπεὶ γὰρ τὰ ὀνόματα τρίτων προσώπων ἐστὶν ἀποφαντικά, καθὸ αἱ ἀπ' αὐτῶν θέσεις γινόμεναι οὔτε ἐκ τοῦ ἀποφαινομένου προσώπου εἰσίν, ὅ περ ἐστὶν ἴδιον πρώτου προσώπου· οὐ γὰρ δή γε ἑαυτοῖς τίθενται οἱ παῖδες τὰ ὀνόματα, οὐδὲ πρὸς αὐτοὺς ἀποφαινόμενοι τὰς ὀνομασίας ποιούμεθα, ὅ περ ἐστὶ δευτέρου προσώπου· ἦν δὲ τὰ ῥήματα ἐν τρισὶ προσώποις καταγινόμενα, καὶ διὰ τοῦτο προσεπενοεῖτο ἡ ἀντωνυμία ἐν προσώποις καταγινο-

μένη, ἀνταναπληροῦσά καὶ τὴν θέσιν τοῦ ὀνόματος καὶ τὴν τάξιν τοῦ ῥήματος, ὡς ἐν τοῖς τοιούτοις ἐγὼ γράφω, σὺ γράφεις· καὶ διὰ τοῦτο οὐκ ἐνεποδίζετο τὸ ἐν τρίτῳ λέγειν προσώπῳ Ἀρίσταρχος ἀναγινώσκει, ὡς ἂν δύο τρίτων συνόντων. οὐ τοῦτο δὲ παρίστημι, ὡς αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι περιτταί εἰσι, δυναμένων τῶν ὀνομάτων κατὰ τὸ τρίτον πρόσωπον παραλαμβάνεσθαι· διότι γὰρ καὶ ἐν τρίτοις προσώποις καταγίνονται αἱ ἀντωνυμίαι, ἐν τοῖς κατὰ μέρος εἰρήσεται. καὶ εἰ τοῦτο ἀληθές, προφανὲς ὅτι προϋποστήσεται ἡ τῶν ῥημάτων τάξις τῶν δι' αὐτὰ ἐπινοηθεισῶν ἀντωνυμιῶν. Τὸ δὲ μεῖζον, τὰ ῥήματα προσώπων τῶν κατ' εὐθεῖαν νοουμένων ἐστὶ παραστατικά, ἃ περ ἀπολύτως νοεῖται· ὁ γὰρ ἀποφαινόμενος περιπατῶ ἢ γράφω οὐ πρὸς ἔνδειξιν ἑτέρου προσώπου ὁρίζεται· αἵ τε ἀντωνυμίαι εἰς διάκρισιν προσώπου ἐπινοηθεῖσαι ἐν μὲν ταῖς πλαγίαις πτώσεσιν ἦσαν καὶ ἐγκλιτικαί, αἵ περ εἰσὶν ἀπολύτων προσώπων παραστατικαί, παραλαμβάνονται δὲ καὶ εἰς ὀρθὴν τάσιν εἰς παρέμπτωσιν ἀντιδιαστελλομένου προσώπου, ὡς ἔχει τὸ

παῖδα δ' ἐμοὶ λύσαιτε

πρὸς τὸ

ὑμῖν μὲν θεοὶ δοῖεν

καὶ τὸ

ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα
πρὸς τὸ
φίλων ἀπάνευθεν ἑταίρων.

πῶς οὖν αἱ τῆς εὐθείας πτώσεως ἀντωνυμίαι τὸ ἐγκλινόμενον πρόσωπον οὐ παρεδέχοντο; ἢ ὅτι προϋφεστώτων τῶν ῥημάτων καὶ ἀναπληρούντων τὸ τῆς εὐθείας ἀπόλυτον πρόσωπον εἰς οὐδὲν χρειώδες ἐπενοοῦντο αἱ τῆς εὐθείας ἐγκλιτικαὶ ἀντωνυμίαι, τάχα παρελκόμεναι πλέον τῶν παραπληρωματικῶν συνδέσμων, οὓς ἀποδείξομεν καὶ ἀναγκαίως παραλαμβανομένους. ἡ γοῦν ἐγκλιθεῖσα τῆς ὀρθῆς πτώσεως παρὰ Δωριεῦσι τύ ἀναγκαίως παρέφθειρε καὶ τὴν εὐθεῖαν, μεταστᾶσα εἰς τὴν συγγενῆ αἰτιατικήν. καὶ φαίνεται ὅτι ἐνέμειναν αἱ τῆς εὐθείας ἀντωνυμίαι οὐ δι' ἄλλο τι ἢ καθὸ τὰ ῥήματα, οὐ δυνάμενα παραστῆσαι τὴν ἀντιδιαστολήν, συμπαρελάμβανε τὴν ἀντωνυμίαν ἕνεκα τοῦ ἐξαιρέτου αὐτῆς ἰδιώματος, λέγω τῆς ἀντιδιαστολῆς.

Καὶ ἡ μετοχὴ δὲ κατὰ τὴν δέουσαν ἀκολουθίαν κατελέχθη μετὰ τὸ ῥῆμα, τῆς τάξεως ἐμφαινούσης τὴν ἐκ τοῦ ῥήματος μετάπτωσιν εἰς αὐτήν, ὡς γε ἐν τῷ περὶ μετοχῆς διὰ πλειόνων παρεστήσαμεν ὡς ἀναγκαίως αἱ μεταλήψεις τῶν ῥημάτων ἐγίνοντο εἰς πτωτικὰ σχήματα σὺν τοῖς παρεπομένοις γένεσι, τῶν ῥημάτων οὐ δυναμένων τὴν καταλληλότητα παραστῆσαι. Προφανὲς δ' ὅτι καὶ ἡ ἐγγενομένη

θέσις τοῦ ὀνόματος οὐκ ἄλλως ἂν ἐφυλάχθη, εἰ μὴ μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα τὸ ἐκ τούτων ἐκ καταφάσεως ἠρτημένον μόριον παρελαμβάνετο, ὡς καὶ μετὰ τὸ ἀρρενικὸν καὶ θηλυκὸν τὸ τούτων ἀποφατικὸν οὐδέτερον. εἰ γὰρ μὴ παραδεξαίμεθα τὴν τῶν προκειμένων μορίων προτέραν θέσιν, καταλελείψεται τὸ μηδὲ μετοχὴν καλεῖν μηδὲ μὴν οὐδέτερον, ἐπεὶ τίνων δύο προϋφεστώτων γένοιτο ἂν ἀποφατικὸν τὸ οὐδέτερον, τίνων δὲ μεθέξει ἡ μετοχή; Ἀλλ' οὐδὲ ἄλλου μορίου δύναιτο ἄν τις παρέμπτωσιν ποιήσασθαι, λέγω ἀντωνυμίας, ἐπιῤῥήματος, συνδέσμου, ἄλλου του· οὐδὲ γὰρ τῆς τούτων ἰδιότητος μετέσχεν.

Οὐχ ὡς ἔτυχε δὲ καὶ ἡ τοῦ ἄρθρου τάξις προσεῤῥίφη, ὑπαγορεύουσα μὲν τὸ συνηρτημένον τοῖς εἰρημένοις πτωτικοῖς, ἐκκλίνασα δὲ τὴν ἀπαράδεκτον τῶν ἄρθρων ἀντωνυμίαν, ὅπου γε καὶ μέχρι ῥήματος ἡ τούτου συνάρτησίς ἐστι, τὸ φιλολογεῖν καλόν ἐστι, τῷ γράφειν ἥδομαι.

Οὐ δεήσεται ἐπιστάσεως ἡ ὑποῦσα ἀντω-
22 νυμία, ὅπου γε καὶ παρεκινδύνευε μετὰ τὴν τοῦ ὀνόματος θέσιν παραλαμβάνεσθαι. Πρόδηλον δ' ὅτι καὶ τὸ ἀντί τινος παραλαμβανόμενον μεταγενεστέραν θέσιν ὁμολογεῖ...., καὶ εἰ τὸ ἄρθρον μετὰ ὀνόματος καὶ ἡ ἀντωνυμία ἀντ' ὀνόματος, δέδοται ὅτι τὸ συνυπάρχον ἄρθρον

τῷ

τῷ ὀνόματι πρεσβύτερόν ἐστι τῆς ἀντωνυμίας. ἴσως γὰρ καὶ αἱ ἀναφορικαὶ ἀντωνυμίαι ἀντ' ὀνομάτων εἰσὶ τῶν σὺν ἄρθροις λεγομένων· οὐ γὰρ δή γε τὰ ὀνόματα ἐξ αὐτῶν ἀναφορὰν παρίστησιν, εἰ μὴ συμπαραλάβοιεν τὸ ἄρθρον, οὗ ἐξαίρετός ἐστιν ἡ ἀναφορά· δυνάμει ἄρα ἀντὶ ἄρθρων παραλαμβάνεται. αὐτὰ οὖν τὰ ἄρθρα τῆς πρὸς τὰ ὀνόματα συναρτήσεως ἀποστάντα εἰς τὴν ὑποτεταγμένην ἀντωνυμίαν μεταπίπτει, ὡς ἐν τοῖς τοιούτοις,

ὁ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·

ὃς γάρ ῥα μάλιστα

ἥνδανε κηρύκων·

τὸν δ' ἀπαμειβόμενος.

ὑπὲρ τῆς τοιαύτης συντάξεως κατὰ τὸν προσήκοντα λόγον ἐντελῶς τὰ τῆς συντάξεως ἀποδείξομεν.

Φαίνεται δὲ ὅτι καὶ ἡ πρόθεσις οὐ πρώτην ἔχουσα θέσιν καὶ ἀρχαιοτέραν τῶν ἄλλων λέξεων τῇδε κατελέχθη, ὅπου γε οὐκ ἀπ' ἰδίας ἐννοίας τὴν ὀνομασίαν εἴληχεν, ἀλλ' ἐκ τοῦ τῶν προϋπόντων μορίων προτίθεσθαι, ἃ περ εἰ μὴ προϋφεστήκοι, οὐδ' αὐτὴ συστήσεται, καθὼς ἐπεδείκνυμεν καὶπὶ τῆς μετοχῆς. ἔνθα γοῦν καὶ τῆς τάξεως ἔτυχεν, εἴ γε ὁτὲ μὲν κατὰ σύνθεσιν, ὁτὲ δὲ κατὰ παράθεσιν προτίθεται τῶν
23 κατειλεγμένων μορίων, ὥστε μεταγενεστέρα μέν ἐστι τῇ φύσει, τῇ δὲ τάξει ἀρκτική, καθότι

ἔστι νοῆσαι καὶπὶ τοῦ καλουμένου προτακτικοῦ ἄρθρου. οὐ γὰρ δή γε, ὅτι καὶ προτάσσεται, καὶ πρεσβύτερον τῶν ὀνομάτων· ἰδοὺ γὰρ παρατιθέμενον τοῖς ὀνόμασι τὴν ἔκπαλαι τούτων γνῶσιν ἀνὰπολεῖ.

Καὶπειδὴ τὸ ἐπίῤῥημα δυνάμει ἐστὶ ῥήματος ἐπιθετικὴ σύνταξις, ὡς καὶ ἡ ἐγγινομένη θέσις τοῦ ὀνόματος μαρτυρεῖ, δεύτερον δὲ τὸ ῥῆμα τοῦ ὀνόματος, δευτερόν γε ἄρα καὶ τὸ ἐπίῤῥημα προθέσεως τῆς κατὰ σύνθεσιν καὶ παράθεσιν προτιθεμένης τῶν ὀνομάτων.

Ἐπὶ πᾶσι δὲ τοῖς κατειλεγμένοις ὁ τούτων συνδετικὸς σύνδεσμος παρελαμβάνετο, οὐδὲν δυνάμενος ἰδίᾳ παραστῆσαι χωρὶς τῆς τῶν λέξεων ὕλης, καθάπερ οἱ τῶν σωμάτων δεσμοὶ οὐκ εἰσὶ χρειώδεις ἀνυποστάτων ὄντων τῶν σωμάτων.

Ἔστι δὲ καὶ διὰ πλειόνων τὰ τῆς τάξεως ἐπιδεῖξαι· ἀλλ' ἐπεὶ οὐ περὶ ταύτης σκοπὸς ἡμῖν πρόκειται, αὐτοῦ που περιγραπτέον τὸν λόγον.

Κἀκείνῳ γε πρῶτον ἐπιστατέον πρὸ τῆς κατὰ μέρος τοῦ λόγου συντάξεως, τί δή ποτε τὰ πευστικὰ τῶν μορίων εἰς δύο μέρη λόγου ἐχώρησε, λέγω τὸ ὀνοματικὸν καὶ τὸ ἐπιῤῥηματικόν, καὶ διὰ τί οὐκ εἰς ἓν ὀνοματικὸν καὶ ἓν ἐπιῤῥηματικόν, ἀλλ' εἰς πλείονα, οἷον τίς, ποῖος, πόσος, πόστος, πηλίκος, ποδαπός· πῶς,

24

πότε, πηνίκα, ποῦ, πῇ, πόθεν. ἢ καὶ αὕτη ἀπόδειξίς ἐστι τοῦ τὰ ἐμψυχότατα μέρη τοῦ λόγου δύο εἶναι, ὄνομα καὶ ῥῆμα, ἃ περ οὐκ ἐν γνώσει ὄντα τὴν κατ' αὐτῶν πεῦσιν ἔχει συνεχῶς παραλαμβανομένην. ἦν δὲ καὶ ἐν πλείοσιν ὀνοματικοῖς καὶ ἐν πλείοσιν ἐπιῤῥηματικοῖς διὰ λόγον τοιοῦτον. ὑπαρξίν τινος ὑποκειμένου ζητοῦντες φαμεν· τίς κινεῖται; τίς περιπατεῖ; τίς λαλεῖ; προδήλου μὲν οὔσης τῆς κινήσεως, τῆς περιπατήσεως, τῆς λαλιᾶς, τοῦ δὲ ἐνεργοῦντος προσώπου ἀδήλου καθεστῶτος. ἔνθεν καὶ αἱ ἀνθυπαγωγαὶ ὀνοματικαὶ γίνονται προσηγορικαὶ ἢ κύριαι, τῶν κυρίων ἐμφανιζόντων καὶ τὴν οὐσίαν· φαμὲν γὰρ ἢ ἄνθρωπος περιπατεῖ ἢ Τρύφων ἐγκειμένου πάλιν τοῦ ἀνθρώπου· ἢ μόριον τὸ ἀντ' ὀνόματος παραλαμβανόμενον, λέγω τοῦ κυρίου, ὅτε φαμὲν ἐγώ. καὶ ἐπεὶ οὐκ ἐμφανῆ ἦν τὰ ἐπισυμβαίνοντα τοῖς προκειμένοις ὀνόμασιν — αὐτὸ γὰρ μόνον τὸ τίς ὄνομα τῆς οὐσίας ἐπεζήτει, ἢ ἐπέτρεχε τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ πηλίκον — προσεπινοεῖται καὶ ἡ κατὰ τούτων πεῦσις, ὅτε κατὰ μὲν ποιότητα ζητοῦντες λέγομεν ποῖος, κατὰ δὲ ποσότητα πόσος, κατὰ δὲ πηλικότητα πηλίκος, καὶ ἐν παραγωγῇ ἐθνικῇ τῇ ἀπὸ τοῦ ποῖος τὸ ποδαπός. ὥστε ἀνθυπάγεσθαι μὲν τῷ ποῖος, προλελημματισμένον ἀπὸ τοῦ τίς, ὡς κατ' ἐπιθετικὴν πεῦσιν, εἰ τύχοι, ὁ γραμματικός, ὁ μουσικός, ὁ δρομεύς,

ἔχοντος τοῦ λόγου τῇδε, τίς ἀναγινώσκει; Τρύφων· πότερος ἢ ποῖος; ὁ γραμματικός ἢ ὁ ῥήτωρ, ἅπαντα τὰ δυνάμενα ἐπισυμβαίνειν τοῖς ἐκ τοῦ τίς ἀνθυπαγομένοις ὀνόμασι κατ' ἐπιθετικὴν ἔννοιαν. διότι μέντοι τὰ ἀνθυπαγόμενα μετὰ τοῦ ἄρθρου τὴν ἀνταπόδοσιν ἔχει, ὕστερον εἰρήσεται. Ἀλλ' ἐπειδὴ καί τινα ἔστι δι' ἐνικοῦ χαρακτῆρος πλῆθος ἐμφαίνοντα, καὶ τούτων τῇ ἀγνοίᾳ ἡ πεῦσις χαρακτῆρα ἀπένειμε, λέγω ἐν τῷ πόσος, ὅτε ἐπὶ πλήθους πυνθανόμεθα· καὶ ὅτε τάξιν τὴν καθ' ἕκαστον ἀριθμὸν ἐπὶ πλήθους ἐπιζητοῦμεν, ὡς ἐν τῷ πόστος· καὶ ὡς προείπομεν, ἐπὶ μεγέθους πηλίκος, καὶ ἐπὶ ἐθνικῆς ἐννοίας ποδαπός, ἢ ἔσθ' ὅτε ἀνθυπάγεται καὶ τὰ ἐν ποιότητι, εἰ τύχοι, ὅτε λέγομεν ποδαπός ἐστι Τρύφων; μέλας ἢ λευκός ἤ τι τοιοῦτον· ἃ περ οἶμαι ἀληθῶς ἀνθυπάγεσθαι τῇ πρὸς τὸ πρωτότυπον πεύσει, λέγω τῇ ποῖος. ᾧ λόγῳ καὶ τὸ ἡμεδαπός ἔχον τὴν ἀντωνυμικὴν θέσιν, καὶ ἔτι τὸ ὑμεδαπός τό τε παρὰ τὸ ἄλλος ἀλλοδαπός, πάλιν τὴν ἀναίρεσιν τῶν προσώπων τῆς ἐθνικῆς παραγωγῆς ἐπαγγελλομένης· τούτῳ μέντοι διοίσοντα, ἢ τὰ μὲν ἐκ τοῦ ποῖος ἀνθυπαγόμενα μετὰ ἄρθρου ῥητά ἐστι, ποῖος Τρύφων; εἰ τύχοι ὁ μέλας ἢ ὁ λευκός· ὁπότερος Αἴας; ὁ Λοκρός ἢ ὁ Τελαμώνιος. ποδαπός ἐστι Τρύφων; τὸ μὲν ἀνεν-

δοίαστον καὶ ὑγιὲς Ἀλεξανδρεύς, Ἀθηναῖος· τὸ δὲ παρεμπῖπτον διὰ τὴν πρὸς τὸ πρωτότυπον, ὡς ἔφαμεν, πεῦσιν μέλας ἢ λευκός. Ἤδη μέντοι ὑπ' ὄψιν πιπτούσης τῆς οὐσίας καὶ τῆς ποιότητος καὶ ἔτι τῶν συμπαρεπομένων, ἔτι προσγίνεται πεῦσις ἡ κατὰ τῆς ἰδιότητος τοῦ ὀνόματος. ἀφορᾷ γοῦν ὁ Πρίαμος πάντα τὰ προειρημένα, τὴν μὲν οὐσίαν ἐν τῷ ὅδε, καὶ τὸ ἔθνος ἐν τῷ Ἀχαιὸς ἀνήρ, καὶ τὴν ποιότητα ἐν τῷ νύ, καὶ τὴν πηλικότητα ἐν τῷ μέγας, οὐ μὴν τὴν ἰδιότητα τοῦ ὀνόματος· ὅθεν ἀναπληροῦται ἐν τῷ

οὗτος δ' Αἴας ἐστὶ πελώριος.

Καὶ τὰ ἐπιρρήματα δὲ φέρεται ἐπὶ τὰς ἀγνοουμένας διαθέσεις ἢ κατὰ ποιότητα τῆς πράξεως, ὡς φαμεν πῶς ἀνέγνω; ἀνθυπάγοντες δυνάμει ἐπιθετικὸν τὸ ἐπίρρημα, εἰ τύχοι, καλῶς, ῥητορικῶς, φιλοσόφως· ἢ οὐτοῦτο ἐπιζητοῦντες, χρόνον δὲ καθ' ὃν τὰ τῆς διαθέσεως ἐγένετο, πότε; πρωΐαν; οἷς ἀνθυπάγεται πάλιν χθές, πρώην, πάλαι· ἢ τόπον ἐν ᾧ τὰ τῆς πράξεως γίνεται,

ποῦ νῦν δεῦρο κιὼν λίπες Ἕκτορα δῖον;

καὶ διαφορᾷ τῇ ἐκ τόπου ἢ εἰς τόπον,

πῇ ἔβη Ἀνδρομάχη;

πόθεν παρεγένου; γινώσκει γοῦν Ὀδυσσεὺς πόθεν ἦλθεν Ἐλπήνωρ, καὶ οὔ φησι

27 πόθεν ἦλθες; οὐ μὴν τὴν ἔφοδον, διό φησι

πῶς ἦλθες;

Ὡς μὲν οὖν τὰ προκείμενα μόρια ἀναγκαίως καὶ ἐπιῤῥηματικά ἐστι καὶ ὀνοματικά, ἀπεδείχθη· περὶ ὧν τῆς συντάξεως κατὰ τὸ ἑξῆς εἰρήσεται.

Ἐπεὶ οὖν τὰ ὑπόλοιπα τῶν μερῶν τοῦ λόγου ἀνάγεται πρὸς τὴν τοῦ ῥήματος καὶ τοῦ ὀνόματος σύνταξιν, ἐξ ἧς καὶ τὴν τοῦ ὀνόματος ἔσχε θέσιν, δέον διαλαβεῖν περὶ ἑκάστου τοῦ τε παραλαμβανομένου καὶ τοῦ ἀνθυπαγομένου ἢ καὶ συμπαραλαμβανομένου, ὡς αἱ ἀντωνυμίαι ἀντὶ τῶν ὀνομάτων καὶ μετὰ τῶν ὀνομάτων, καὶ ἔτι αἱ μετοχαὶ ἀντὶ τῶν ῥημάτων καὶ μετὰ τῶν ῥημάτων, καὶ ἐπὶ τῶν ἑξῆς μερῶν τοῦ λόγου.

4 Τὰ μὲν οὖν ἄρθρα ἡ τῶν ὀνομάτων σύνταξις παραλαμβάνει καὶ ἔτι ἡ τῶν ῥημάτων, ὡς ἔστιν ἐπὶ τῶν ἀπαρεμφάτων φάναι τὸ φιλολογεῖν ὠφέλιμον, τῷ περιπατεῖν ἥδομαι, καὶ ἔτι παντὶ μέρει λόγου οὐδὲν σημαίνοντι πλέον ἢ αὐτὸ μόνον τὸ ὄνομα τῆς φωνῆς, ὥστε πρὸς τὸ ὑπακουόμενον ἔξωθεν τὸ ἄρθρον ἀνατείνεσθαι, ὁ μέν προτακτικός ἐστι τοῦ δέ· ἀνάγεται γὰρ πρὸς τὸ σύνδεσμος· τὸ λέγε προσακτικόν ἐστι· δῆλον ὡς πρὸς τὸ ῥῆμα. καὶ ἐπί γε τῶν πτωτικῶν. ὅτε γάρ φαμεν ὁ Ἀρίσταρχος, πρὸς τὸ νοούμενον γένος τὸ ἄρθρον παρατίθεμεν· ὅτε δὲ οὕτως,

28 τὸ Ἀρίσταρχοι προπαροξύνεται, τὸ

Ἀρίσταρχοι εἰς οἱ λήγει, πρὸς τὸ ὄνομα τῆς φωνῆς φαμέν, ὑπακουομένου τοῦ ὀνόματος, καθότι καὶ εἴ τις οὕτως εἴποι, ἡ σήμερον, ἡ χθές. διὸ καὶ ἐνικῶς πάντοτε τὰ τοιαῦτα ἄρθρα παραλαμβάνεται. πᾶν γὰρ μέρος λόγου ἓν ἐστιν, ἐξ αὐτῶν γε μὴν παρυφίσταταί τινα πληθυντικά. ἓν γὰρ ὂν τὸ ἄνθρωποι ὅσον ἐφ' ἑαυτῷ κατὰ τὸν μερισμὸν τοῦ λόγου παριστάνει ἐκ τοῦ δηλουμένου πληθυντικὴν ἔννοιαν. ἀλλὰ καὶ ὅτε τινὲς ἀποφαίνονται ἀσυνάρθρους τὰς ἀντωνυμίας, οὐ πρὸς τὴν φωνὴν ἀποτείνονται, πρὸς δὲ τὸ ἐξ αὐτῆς δηλούμενον, ὃ μετὰ δείξεώς ἐστι προσώπων παραστατικόν· ἐπεὶ πάλιν ὅσον ἐφ' ἑαυτῇ ἡ φωνὴ προσλαμβάνει ἄρθρον, ὅτε φαμέν ἡ ἐγὼ μόνον ὀρθοτονεῖται, ἡ σοί ἐγκλίνεται.

5 Οὐ μετρίως δέ τινες ἐσφάλησαν ὑπολαβόντες τὴν παράθεσιν τῶν ἄρθρων εἰς γένους διάκρισιν παρατίθεσθαι τοῖς ὀνόμασι. πρὸς οὓς ἀντείρηται διὰ πλειόνων ἐν τῷ περὶ γενῶν, καὶ νῦν δὲ ἀπαιτούσης τῆς συντάξεως ὀλίγα πρὸς αὐτοὺς ἐκθησόμεθα, ἃ περ διελέγξει τὴν διεψευσμένην αὐτῶν δόξαν. Πρῶτον ὅτι οὐδὲν μέρος λόγου ἐπενοήθη εἰς διάκρισιν ἀμφιβολίας ἑτέρου μέρους λόγου, ἕκαστον δὲ αὐτῶν ἐξ ἰδίας ἐννοίας ἀνάγεται, ὡς γε δεδείξεται ἐν τοῖς ἑξῆς. ἐπιλύεται γοῦν ἡ τοῦ γένους σύνοδος ἐκ τῶν παρεπομένων μερῶν τοῦ λόγου,

καθότι καὶ τὰ ἄλλα μόρια, ἐν πλείοσι σημαινομένοις γινόμενα διὰ μιᾶς φωνῆς, τῇ προειρημένῃ συντάξει ἀπολύεται τῆς ἀμφιβόλου προφορᾶς. οὐ συνόντος γοῦν τοῦ ἄρθρου ἐν τῷ σώφρων οὖσα Ἑλένη ἡρπάσθη ὑπὸ Ἀλεξάνδρου τὸ ἀμφίβολον τοῦ σώφρων ἐκ τῶν συμπαρεπομένων ἀπέβαλε· τὸ μέντοι ἐκ τῶν θεῶν ἐπεκλώσθη Ὀδυσσεῖ τὸ μὴ παθεῖν κατὰ θάλασσαν, κἂν μετὰ ἄρθρου λέγηται, ἀλλ' ὅμως ἐπικρατεῖται πρὸς τῆς ἀμφιβολίας τοῦ γένους, πότερον οἱ θεοὶ ἢ αἱ Μοῖραι. πῶς οὖν οὐ γελοῖον εἰς διάκρισιν γένους παραλαμβάνεσθαι τὰ ἄρθρα, ὅπου γε ἄρθρου μὲν ὄντος ἀμφιβάλλεται τὸ γένος, μὴ ὄντος δὲ ἀπολύεται τῆς ἀμφιβολίας; Δεύτερον οὐκ ὠφειλε τὸ εἰς διάκρισιν γένους παραλαμβανόμενον εἰς τὸ αὐτὸ ἐμπίπτειν τῷ δι' ὃ καὶ αὐτὸ ἐπενοήθη, λέγω δὴ τὴν σύγχυσιν τοῦ γένους, ὅπου γε τὸ τῶν ἢ τοῖν ἢ ἄλλο τι τοιοῦτον οὐχ ἑνὸς γένους κατηγορεῖται. καὶ εἰ παραδεξαίμεθα τὸ ὦ ἄρθρον ἁπάντων τῶν γενῶν μετὰ τῶν συνόντων ἀριθμῶν, ἐπινοηθήσεται ἄλλα ἄρθρα εἰς τὴν τῶν τοιούτων ἄρθρων διάκρισιν. ἢ εἴ περ ἔσθ' ὅτε ταῦτα διὰ τῶν συνόντων ὀνομάτων τῆς κατὰ τὸ γένος ἀμφιβολίας ἀπολύεται, ὅτε φαμὲν τῶν Μουσῶν, οὐδὲν κωλύει φάναι ὡς τὰ ὀνόματα ἐπενοήθη εἰς διάκρισιν τῶν ἐν τοῖς ἄρθροις γενῶν· ὅ περ εἰῴθεις. ἐκ παρεπομένου οὖν

οἶμαι αὐτὰ ἀπολύειν τῆς ἀμφιβολίας τῶν γενῶν. Καὶκ τρίτου δὲ ἔστιν ἐκεῖνο προσθεῖναι, ὡς ἐχρῆν μόνον τοῖς εἰς ἀμφιβολίαν τοῦ γένους προβαλλομένοις παρατίθεσθαι τὰ ἄρθρα, οὐ μὴν τοῖς δυναμένοις δι' ἑαυτῶν τὸ γένος ἐνδείξασθαι, ὡς ἐπὶ τοῦ θεός, ὅτε φαμὲν ὁ θεός καὶ ἡ θεός, ὁ ἵππος καὶ ἡ ἵππος· οὐ μὴν τῷ γυνή προσκείσεται, ὅπου γε καὶ σχεδὸν τὸ ὄνομα τοῦ γενικοῦ γένους ἔγκειται. νυνὶ δὲ τῷ μὲν γυνή προσκείσεται ἔν τισι λόγοις μετὰ τῆς δεούσης συντάξεως, τῷ δὲ θεός ἢ ἵππος ἢ τινι τῶν τοιούτων κατ' οὐδένα τρόπον παρατεθήσεται. ἐκκείσθω δὲ ὑποδείγματα, τοῦ μὲν προτέρου πῶς ἡ γυνή σε ὕβρισε; τὸ γὰρ δίχα τοῦ ἄρθρου ἀσύνετον· τοῦ δὲ ἑτέρου θεός τίς σε ἠλέησεν· ἀδύνατον γὰρ ἐπὶ τούτου τὸ ἄρθρον προστεθῆναι, καθότι παρεστήσαμεν καὶ ἐν τῷ περὶ γενῶν ἐπὶ τοῦ

μή τέ τις οὖν θήλεια θεῶν τό γε μή
τέ τις ἄρσην

ὡς ἀκριβῶς προσέθηκε τὸ θήλεια. σχεδὸν γὰρ πρὸς Ἥραν καὶ Ἀθηνᾶν ἀποτείνεται, τὸ δὲ

μή τέ τις ἄρσην

προσέρριπται ὑπὲρ τοῦ μὴ ἀντικρυς αὐτὸν πρὸς τὰς δαίμονας ἀποφαίνεσθαι. καὶ σαφὲς ὅτι, ὅ
31 περ ἔμελλε διακρίνειν τὸ ἄρθρον παρατεθὲν ἐκ παρεπομένου, τοῦτο τὸ θήλεια καὶ τὸ ἄρσην ἀφηγήσατο, ἐπεὶ τὸ ἴδιον τοῦ ἄρθρου οὐκ ἠδύ-

νατο ἡ σύνταξις παραδέξασθαι ἀοριστρυμένου τοῦ λόγου. καὶ ἴσως τις φήσει Οὐχὶ οὖν καὶ ἐν ἄλλοις ἐλλειπτική ἐστι τῶν ἄρθρων ἡ σύνταξις; πρὸς ὃν φήσομεν ὡς δυνάμει τὰ ἐκλείποντα παράκειται, ἐμφανιζόμενα διὰ τοῦ ἐπιζητοῦντος αὐτὰ λόγου· ἐπὶ μέντοι τῆς προκειμένης συντάξεως τοῦ καταλλήλου οὐκ ἐπιζητοῦντος τὰ τοῦ γένους συνεκέχυτο, καὶ διὰ τοῦτό οἶμαι πάνυ ἀκριβῶς διὰ τῆς ὀνομασίας τῶν γενῶν ἀνεπλήρωσε τὸν λόγον, λέγω τοῦ θήλεια καὶ τοῦ ἄρσην.

6 Ἔστιν οὖν, καθὸ καὶ ἐν ἄλλοις ἀπεφηνάμεθα, ἴδιον ἄρθρου ἡ ἀναφορά, ἥ ἐστι προκατειλεγμένου προσώπου παραστατική. Ἀναφέρεται δὲ τὰ ὀνόματα ἤτοι κατ' ἐξοχήν, ὅτε φαμὲν οὗτός ἐστιν ὁ γραμματικός, τοιοῦτόν τι ἐμφαίνοντες ὁ πάντων προήκων, ὡς ἔστιν εἰπεῖν, ὁ γενικώτατος. τῇδε γὰρ καὶ ὡς συλλαβὴν τὸ ἄρθρον ἀπηνέγκατο ὁ ποιητής, ἀπενεγκάμενος καὶ τὴν πάντων ἐξοχὴν καὶ τὴν πρὸς ἁπάντων προπεπερασμένην γνῶσιν. Ἢ καὶ κατὰ μοναδικὴν κτῆσιν. ὁ γὰρ οὕτως ἀποφαινόμενος, δοῦλός σου ταῦτα ἐποίησε, πλῆθος ὑπαγορεύει δούλων· ὁ δὲ μετὰ τοῦ ἄρθρου, ὁ δοῦλός σου ταῦτα ἐποίησε, μοναδικὴν κτῆσιν ὑπαγορεύει. Ἢ καὶ κατ' αὐτὸ μόνον ἁπλῆν ἀναφοράν, ὅτε φαμὲν ὁ ἄνθρωπος ἦλθέ σε ζητῶν, ὁ γραμ-

ματικός σε ἐζήτει, νῦν οὐχ οὕτως ἀκουομένου τοῦ ὁ γραμματικός, καθὼς πρόκειται. Ἔσθ' ὅτε δὲ καὶ προληπτικώτερον πρόσωπον ἀναφέρει, ὅτε δὴ καὶ ἀοριστῶδες φαίνεται, ὅτε οὕτω φαμέν, ὁ τυραννοκτονήσας τιμάσθω. τὸ γὰρ ὡς ἐσόμενον πρόσωπον ἀνεπόλησεν, ὅμοιον καθεστὸς ἐκείνῳ

κεῖνος γὰρ πέρι κῆρι μακάρτατος ἔξοχον ἄλλων,
ὅς κέν σ' ἔδνοισιν βρίσας οἰκόνδ' ἀγάγηται.

οὐ γὰρ ὅμοιόν ἐστι τῷ

κεῖνος ἀνήρ, ὅτ' ἐμεῖο κυνώπιδος,

ἐπεὶ τοῦτο μὲν τὸ προγεγονὸς πρόσωπον ἀναπολεῖ, τὸ δὲ προκείμενον τὸ ὡς ἐσόμενον. οὐ μὴν λέληθέ με ὡς δύναται καὶ προϋφεστὸς πρόσωπον ἀναφέρειν τὸ ὁ τυραννοκτονήσας τιμάσθω. φέρε γάρ, εἰ τύχοι, τυραννοκτονῆσαί τινα καὶ μήπω τετιμῆσθαι, ἐπιβάλλοντός δὲ τοῦ τοιούτου φάναι τινὰ ὁ τυραννοκτονήσας τιμάσθω· ὃ περ πάνυ ἐμφανέστατον γενήσεται μετὰ ὁριστικῆς προφορᾶς, καὶ μάλιστα ἐπὶ παρῳχημένου χρόνου, ὁ τυραννοκτονήσας τετίμηται. Δεδείξεται δὲ ὡς καὶ πλήθους ἔσθ' ὅτε ἔμφασιν ποιεῖ.

7. Κατὰ τὰς προκειμένας οὖν ἐννοίας τοῦ μο-
33 ρίου σκεπτέον, εἰ πᾶσι τοῖς πτωτικοῖς συμφέρεται, καὶ τίνα τούτων ἀδυνατεῖ τὴν ἐξ αὐτῶν

συνάρτησιν ἀναδέξασθαι, καὶ τίνα ἅπαξ ἀναδεξάμενα αὐτὰ οὐ μεθίησι καθάπερ ἰδίας συλλαβάς. καὶ πρῶτόν γε ἀρκτέον τῆς τῶν στοιχείων συντάξεως ὡς πρὸς τὰ ἄρθρα.

Τὰ τοίνυν στοιχεῖα ἐν εὐθείᾳ καὶ αἰτιατικῇ ἤτοι χωρὶς ἄρθρου λέγεται ἢ σὺν ἄρθρῳ. καὶ χωρὶς μὲν ἄρθρου, ἡνίκα φαμὲν οὕτω, τοῦτο ᾱ ἐστί, τοῦτο β̄ ἐστί, νῦν εὐθείας νοουμένης, ὡς εἰ καί τις φαίη τοῦτο ἄνθρωπός ἐστι, τοῦτο ἵππος ἐστί· διδάσκει καὶ ἡ τοῦ ῥήματος σύνοδος, συντείνουσα ἐπὶ τὴν εὐθεῖαν. κατὰ δὲ αἰτιατικὴν τοῦτο ᾱ προσαγορεύει ὁ διδάσκαλος, τοῦτο β̄, πάλιν καὶ τῆς μεταβάσεως τοῦ ῥήματος συντεινούσης ἐπὶ τὸ τοῦτο β̄, καὶ τοῦ στοιχείου νοουμένου κατ' αἰτιατικήν, ὡς εἰ καὶ οὕτως ἀποφαινοίμεθα, τοῦτον τὸν χαρακτῆρα σημαίνει ὁ διδάσκαλος. σὺν δὲ ἄρθρῳ, ὅτε οὕτω φαμέν, τὸ ᾱ δίχρονόν ἐστι, τὸ ᾱ τελικόν ἐστι θηλυκῶν καὶ οὐδετέρων, καὶ ἔτι κατ' αἰτιατικήν, τὸ ᾱ ἀπήλειψεν ὁ παῖς, ὡς εἰ καὶ τὸν χαρακτῆρα ἀπήλειψε. Κατὰ μέντοι γενικὴν καὶ δοτικὴν ἀδύνατον ἐκστῆναι τὸ ἄρθρον τῆς συντάξεως τῶν στοιχείων, ὅτε οὕτω φαμέν, τῷ ᾱ παρέπε-
34 ται τὸ ἐκτείνεσθαι καὶ συστέλλεσθαι, τοῦ ᾱ τὴν κεραίαν ἀπήλειψε, τοῦ ᾱ ἡ ἐκφώνησις μεγίστη ἐστίν. Ἔστι δὲ αἰτία τῆς

συντάξεως ἥδε. μονόπτωτά ἐστι τὰ στοιχεῖα, καὶ προῦπτον ὅτι ἡ αὐτῶν πρώτη ἐκφώνησις καὶ θέσις ἐν εὐθείᾳ ἐστίν. αὕτη οὖν ἄγνωστος οὖσα τοῖς ἀρτιμαθέσι τῶν παίδων ἀναγκαίως δίχα ἄρθρου λέγεται, εἴ περ τὸ ἄρθρον προϋφεστῶσαν γνῶσιν δηλοῖ, ὁ δὲ παῖς ἀγνοεῖ τὸ στοιχεῖον· ὑγιῶς ἄρα φαμὲν κατὰ τὰς διδαχὰς τοῦτο ᾱ ἐστίνι ἤδη μέντοι ἀναλαβόντες τὴν γνῶσιν αὐτοῦ ὡς προδεδιδαγμένοι, ἀναγκαίως τὴν κατ' αὐτοῦ ἀναπόλησιν παρεμφαίνοντες, πάντως καὶ σὺν ἄρθρῳ ἀποφαινόμεθα, τὸ ᾱ τελικόν ἐστι θηλυκῶν τε καὶ οὐδετέρων, τουτέστιν ὃ προεμάθομεν ᾱ. ἤδη μέντοι λημματιζομένης τῆς εὐθείας σύνεστι καὶ ἡ ὁμόφωνος αἰτιατικὴ ταῖς αὐταῖς ἐφόδοις καὶ μετὰ ἄρθρου λεγομένη καὶ χωρὶς ἄρθρου, πάλιν κατὰ τὴν πρώτην θέσιν, τοῦτο ᾱ προαγορεύει ὁ διδάσκαλος, καὶ πάλιν κατὰ τὴν προϋποκειμένην γνῶσιν, τὸ ᾱ ἀπήλειψεν ὁ παῖς. Ἡ μέντοι γενικὴ καὶ ἡ συμπαθοῦσα αὐτῇ δοτική, οὐκ ἔχουσα διὰ τῆς φωνῆς τὴν γενικὴν ἀποδεῖξαι, ἐπεὶ ἄκλιτα τὰ στοιχεῖα, βοηθεῖται τῇ τοῦ ἄρθρου κεκλιμένῃ γενικῇ, οἷον τοῦ ᾱ ἡ ἐκφώνησις μεγίστη ἐστί· καὶ ἔτι ἐπὶ τῆς δοτικῆς ὁ αὐτὸς λόγος. εἰ γὰρ τὸ ἄρθρον τις ἀφέλοι, ἡ λειπομένη φωνὴ ὡς εὐθεῖα λελείψεται, καθό, ὡς εἴπομεν, ἡ πρώτη θέσις εὐθεῖά ἐστι· καὶ οὕτω γίνεται ἀκα-

τάλληλα τὰ τοῦ λόγου, ἃ ἡ ἐκφώνησις μεγίστη ἐστίν. οὐ γὰρ μᾶλλον τῷ ἃ τὸ ἐστί συντετάξεται ἢ περ τῷ μεγίστη ἐκφώνησις. ἐπεὶ δύο οὖν εὐθεῖαι οὐδέποτε συνίστανται, ὡς δύο εὐθειῶν νοουμένων ἀκατάλληλα τὰ τοῦ λόγου γίνεται. ὁ αὐτὸς λόγος καὶπὶ τῆς δοτικῆς, τῷ ἃ πρόσκειται τὸ ῑ· ἐὰν γὰρ εἴπωμεν ἃ πρόσκειται τὸ ῑ, πάλιν ὡς δύο εὐθειῶν νοουμένων ἀκατάλληλα τὰ τοῦ λόγου γίνεται. Ὅτι δὲ διὰ τὸ ἄκλιτον τῆς φωνῆς ἡ τοῦ ἄρθρου πρόσθεσις γίνεται, σαφὲς καὶκ τῶν κλινομένων καὶ κατὰ φωνήν, Δίωνος ἡ ἐκφώνησις μεγίστη ἐστίν· ἰδοὺ γάρ, μὴ συνόντος τοῦ ἄρθρου κατάλληλα τὰ τοῦ λόγου ἐστίν. ὁ αὐτὸς λόγος καὶπὶ τῆς δοτικῆς, Δίωνι πρόσκειται τὸ ῑ. Ἐδείχθη ἄρα ἡ γενικὴ καὶ δοτικὴ τῶν στοιχείων, ὡς ἀναγκαίως οὐ μεθίπσι τὰ ἄρθρα.

8 Καὶ ἕνεκα τοῦ τοιούτου οὐ συγκαταθείμην ἂν Τρύφωνι ἀποφαινομένῳ ἐν τῷ περὶ ἄρθρων ὡς τὰ ἀπαρέμφατα ῥήματα πῇ μὲν ὀνόματά ἐστι τῶν ῥημάτων, ὅτε καὶ ὡς ὀνόματα ἄρθρα προσλαμβάνει, τῷ περιπατεῖν· 36 ἥδομαι, τοῦ περιπατεῖν πρόνοιαν ἔχω, καὶ ἔτι ἐπ' εὐθείας, τὸ περιπατεῖν ἀνιαρόν ἐστι· χωρὶς μέντοι ἄρθρου λεγόμενα ῥήματα ἂν εἴη, περιπατεῖν θέλω ἢ περ ἑστάναι. τοιαύταις γάρ τισι συντάξεσιν ἐδόκει

μερίζειν τὸ μὲν ὡς ὀνοματικόν, τὸ δὲ ὡς ῥηματικόν. πρόκειται οὖν ὁ λόγος φυσικώτατος, ὃς οὐ παρὰ τὰς ἐλλείψεις τῶν ἄρθρων ἢ παραθέσεις ἐξελέγξει τὸ ἃ μὲν εἶναι ὀνόματα, ἃ δὲ μή. ἅπαξ γὰρ ἐκεῖνο ἔστι διαλαβεῖν, ὡς πᾶν ἀπαρέμφατον ὄνομά ἐστι ῥήματος, εἴ γε καὶ οἱ ἀπὸ τῆς στοᾶς αὐτὸ μὲν καλοῦσι ῥῆμα, τὸ δὲ περιπατεῖ ἢ γράφει κατηγόρημα ἢ σύμβαμα, καὶ ἔτι τὰς ἀπὸ τούτων ἐγκλίσεις. Διὰ τοῦτο καὶ ὡς ἐπὶ γενικὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἔγκλισις ὑποστρέφει. εἰ γάρ τις τῇδε ἀποφαίνοιτο, περιπατεῖ Τρύφων, μεταβάλοι δέ τις τοῦτο εἰς ἀφήγησιν τοῦ εἰρημένου προσθεὶς τὸ ἐγκείμενον τῇ ὁριστικῇ ἐγκλίσει, λέγω τὸ ὡρίσατο, οὕτως ἂν εἴποι, ὡρίσατο περιπατεῖν Τρύφωνα· καὶ ἐπὶ εὐκτικῆς προφορᾶς, περιπατοίη Τρύφων, πάλιν τὸ ἐγκείμενον τῆς εὐχῆς συμπαραλαβὼν φαίη ἂν ηὔξατο περιπατεῖν Τρύφωνα· καὶ ἔτι ἐπὶ προστακτικῆς ἐγκλίσεως, περιπατείτω Τρύφων, εἴποι ἂν προσέταξε περιπατεῖν Τρύφωνα. Ἔνθεν μοι δοκοῦσιν εὐήθως ἀνα-
37 στρέφειν οἱ ἐπιζητοῦντες διὰ τί ἐλλείπει προσώποις καὶ ἀριθμοῖς καὶ ἔτι ψυχικῇ διαθέσει, εἴ γε οὐ πλημμύνεται, ὅτι πᾶν πρᾶγμα ἓν ἐστιν· εἰ γε οὐκ ἔχει ψυχικὴν διάθεσιν, ὅτι μηδὲ εἰς πρόσωπα ἀνεκυκλήθη, ἃ περ ἔμψυχα ὄντα τὴν ἐν αὐτοῖς διάθεσιν τῆς ψυχῆς ἐπαγγέλλε-

ται· ὥςτε δυνάμει αὐτὸ τὸ ῥῆμα οὔτε πρόςωπα ἐπιδέχεται οὔτε ἀριθμούς, ἀλλὰ ἐγγενόμενον ἐν προςώποις τότε καὶ τὰ πρόςωπα δίεστειλεν, ὄντα λοιπὸν ἢ ἑνικὰ ἢ δυϊκὰ ἢ πληθυντικά. προῦπτον δὲ ὅτι οὐδὲ ψυχικὴν διάθεσιν, καθὼς προείπομεν. πῶς οὖν οὐκ εὐηθέστεροι οἱ κἀκεῖνο ἀποφαινόμενοι, ὅτι καὶ ἑνικὰ καὶ δυϊκὰ καὶ πληθυντικὰ καὶ προςώπων διακρίσεις ἔχει, ἐν συνεμπτώσει ἐξαριθμουμένων τοῦ ἐμὲ γράφειν, σὲ γράφειν, ἐκεῖνον γράφειν, ἡμᾶς γράφειν, ὑμᾶς γράφειν, ἐκείνους γράφειν; ἀλλ' ἔνεστιν ἐξαιρέτως ἐν τοῖς ἑξῆς ἔτι περὶ τούτων διαλαβεῖν, ἐν οἷς καὶ ζητήσομεν διὰ τί ἐπ' αἰτιατικὴν φέρεται. Ἄλλως τε καὶ γὰρ ἃ φησι χωρὶς ἄρθρων λέγεσθαι, δύναται καὶ μετὰ ἄρθρων παραλαμβάνεσθαι, τὸ φιλολογεῖν βούλομαι ἢ περὶ τὸ πλουτεῖν. Ὡς πρόκειται οὖν, ἡ τῶν ἄρθρων τῷ ἀπαρεμφάτῳ σύνταξις ἡ αὐτή ἐστι τῇ τῶν στοιχείων συντάξει. χρὴ μέντοι νοεῖν ὅτι διχῶς πρόςεισι τὸ ἄρθρον, ὁτὲ μὲν τῷ λόγῳ τῷ προκειμένῳ, καθά περ
38 ἐπεδείξαμεν ἐπὶ παντὸς μέρους λόγου, ὁτὲ δὲ ὡς πρὸς τὸ πρᾶγμα. καὶ τοῦ μὲν προτέρου τὸ γράφειν πρώτης ἐστὶ συζυγίας, τὸ γράφειν διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ὅσα οὕτω δύναται κατὰ τῆς φωνῆς λέγεσθαι· τοῦ δὲ δευτέρου τὸ γράφειν ἐπίπονόν ἐστι, τὸ γράφειν φιλοπόνου ἀνδρός ἐστιν.

Οὐκ

9 Οὐκ ἔστι μέντοι παρέλκον ἐν ταῖς τοιαύταις
συντάξεσιν ἀποδεῖξαι ὅτι τὰ οὕτω παρατιθέ-
μενα τοῖς ῥήμασιν ἄρθρα, οὐ μὴν ἐπιῤῥήματά
ἐστιν. ἐπεὶ οὖν οὐκ ἀπίθανος ὁ λόγος παρυ-
φίσταται τοῦ μὴ τάχα τὰ ἄρθρα τὰ τοιαῦτα
ἀρθρικῶς νοεῖσθαι, ἐπιῤῥηματικῶς δέ, φέρε δια-
λαβεῖν καὶ περὶ τοῦ τοιούτου. Ἡ κατὰ τὸ οὐ-
δέτερον θέσις συνεχέστερον, πρὸ τῶν ῥημάτων
τιθεμένη, ἐπιῤῥηματικῶς ἀκούεται ἢ περ ὀνομα-
τικῶς, εἰ οὕτως ἀποφαινοίμεθα, ταχὺ πα-
ρεγένου,

ὅς τ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης,
οὐ μὲν καλὸν ἀτέμβειν οὐδὲ δίκαιον,

τάχιον διαλέγου. ὅ περ δύναται καὶ ἐπὶ
τριγενείας τῶν ἄρθρων ἐγχωρεῖν· εἰ γὰρ τὸ
δεῖν ταχὺ λέγειν ἢ ταχὺ τρέχειν ἐν ἴσῳ
ἐστὶ τῷ δεῖν ταχέως λέγειν ἢ ταχέως
τρέχειν, καὶ τὸ παρεμπῖπτον οὐδέτερον ἄρ-
θρον πρὸ τοῦ ῥήματος τὸ αὐτὸ ἀναδέξεται τῇ
προειρημένῃ συντάξει, ἐπιῤῥηματικῶς νοούμενον
39 κατὰ ἀρθρικὴν ἐκφοράν. Ἀλλ' ἔστι γε πρὸς
τὸ τοιοῦτον φάναι ὅτι τὰ σύνταξεως ἐπιῤῥημα-
τικῆς τυχόντα πτωτικά, τὸν τόπον ἀπενεγκά-
μενα τοῦ ἐπιῤῥήματος, ἄκλιτα καθίστανται, μι-
μούμενα τὸ μοναδικὸν τῶν ἐπιῤῥημάτων. φέρε
γὰρ οὕτω φάναι ἐπ' ὀνοματικῆς συντάξεως,
ταχὺ ἐλθὸν παιδίον ὤνησεν ἡμᾶς, τα-
χέος ἐλθόντος παιδίου ὠφελήθημεν,

καὶπὶ τῶν ἐξῆς πτώσεων, συμπαραλαμβανομένης συντάξεως τῆς θεούσης. νῦνα δὲ ἐπιῤῥηματικῶς, καθ' ἕνα σχηματισμὸν λέγομεν, οἷον ταχὺ ἐλθὸν παιδίον, ταχὺ ἐλθόντος παιδίου, ταχὺ ἐλθόντι παιδίῳ, εἰ δὲ τοῦτο ἀληθές, ἔδει τὸ ἄρθρον, εἴ περ ἐπιῤῥηματικῶς παρέκειτο, ἄκλιτον καθίστασθαι· νυνὶ δὲ κλίνεται, καὶ κλιθὲν ἀμετάστατόν ἐστι τῆς συντάξεως. καὶ φαίνεται ὅτι ὁ προκείμενος λόγος οὐ μᾶλλον παρέστησε τὰ ἄρθρα ἐπιῤῥήματα ἢ περ τὰ ῥήματα. ὀνόματα τῆς τῶν ἐγκλίσεων μεταλήψεως, καθὼς προεδείξαμεν ὅτι τῶν ἐγκλίσεων τὰ ὀνόματα αὐτὰ τὰ ἀπαρέμφατά ἐστι· διὸ κατ' ἐξαίρετον αὐτοῖς πρόσεισιν ἡ τῶν ἄρθρων παράθεσις, καὶ τὰ ὀνόματα τῶν ἐγκλίσεων δι' αὐτῶν δηλοῦται, καθὼς προαπεδείξαμεν. Κἀκεῖνο δὲ προσθετέον, ὡς τὰ ὀνοματικὰ ἐπιῤῥηματικῶς νοούμενα τῇ ἐξ αὐτῶν παραθέσει εἰς τὴν ὀνοματικὴν ὑποστρέφει σύνταξιν. τὸ γὰρ ταχὺ ἐλθὸν παιδίον δυνάμενον ἀκούεσθαι ταχέως ἐλθὸν παιδίον, προσλαβὸν τὸ ἄρθρον ἀποβάλλει τὴν ἐπιῤῥηματικὴν σύνταξιν, τὸ ταχὺ ἐλθὸν παιδίον ὠφέλησεν ἡμᾶς· καὶ ἐὰν τῷ εὐρὺ ῥέει προσθείη τις τὸ ἄρθρον, φήσας τὸ εὐρὺ ῥέει, ὄνομα ποιήσειεν ἂν τὸ εὐρύ. πῶς οὖν οὐ βίαιον τὸ μεταποιοῦν μόριον τὰς ἐπιῤῥηματικὰς εἰς ὀνοματικὰς συντάξεις ἐπιῤῥηματικῶς παραλαμβάνειν;

Πᾶσα γενικὴ παντὸς ὀνόματος ἐπιμεριζομένη πάντως συνέχει τὸ ἄρθρον. ἐκκείσθωσαν δὲ ὑποδείγματα, τῶν ἀνθρώπων οἱ μέν εἰσιν Ἕλληνες, οἱ δὲ βάρβαροι· τῶν Αἰάντων ὁ μὲν ἐπικαλεῖται Τελαμώνιος, ὁ δὲ Λοκρός· τῶν ἀδελφῶν μου ὁ μὲν ῥήτωρ ἐστίν, ὁ δὲ ἕτερος γραμματικός. καὶ ἐφ' ἑνικῶν τῶν δυναμένων τιμῆσιν ἀναδέξασθαι, ὡς ἐπὶ τοῦ χρυσοῦ, ἀργύρου καὶ τῶν οὕτω παραλαμβανομένων. φημὶ δὲ ἐπιμεριζομένων, ἐπεὶ οἷόν τε γενικὴν οὐ τὸ τοιοῦτο ἐπιδεχομένην καὶ χωρὶς ἄρθρων λέγεσθαι, ἀνθρώπων ἀκούω, φίλων προνοοῦμαι, οὐ μὴν φίλων ὃς μὲν ἀγαθός ἐστιν, ὃς δὲ πονηρός· πάντως γὰρ σὺν τῷ ἄρθρῳ. οὐ μόνον οὖν ἐπ' ἐκείνων ἡ πτῶσις ἐνηλλάγη,

Νεστορίδαι δ' ὁ μὲν οὕτασ' Ἀτύμνιον,

ἀλλὰ προφανὲς ὅτι καὶ τὸ ἄρθρον λείπει. καὶ σαφὲς ὅτι τὸ σχῆμα ἐξηγήσατο τὸ ἀσύστατον τοῦ λόγου· γενικῆς γὰρ οὔσης οὐκ ἂν ἔλειψε τὸ ἄρθρον. τὸ μέντοι

οἱ δὲ δύο σκόπελοι

αὐτὸ μόνον τὴν πτῶσιν ἐνήλλαξεν. Ἔχει δὲ τὰ τῆς συντάξεως ἀπολογίαν τοιαύτην. τὰ ἐπιμεριζόμενα ἐκ προϋφεστῶτός ἐστι πλήθους, ἐν γνώσει παραλαμβανομένου, εἴ γε τὸ μέρος τῶν πρός τι καθέστηκε καὶ ἔχει πρὸς τὸ ὅλον τὴν ἀπότασιν. ἀνάγκη οὖν ἐστὶ προεγίνεσθαι τὸ

ἄρθρον τῷ ἐμπεριληπτικῷ τοῦ μέρους, ἵνα τὴν προϋφεστῶσαν γνῶσιν δηλώσῃ. Ἔστι δὲ καὶ ἐκ παρεπομένου παραστῆσαι ὡς τὰ καλούμενα πληθυντικά, ἀδιάκριτα ὄντα τοῦ ἀριθμοῦ, προσδιακρίνεται οὐ μόνον κατὰ τὴν πρόσθεσιν τῶν ἀριθμῶν — φέρε γὰρ οὕτω φάναι, φίλων πέντε ἐλθόντων, φίλων δέκα ἐλθόντων — ἀλλὰ καὶ κατὰ τὴν τοιαύτην σύνταξιν, καὶ εἰ μὴ κυρίῳ ἀριθμῷ, ἀλλ' οὖν γε τῷ ἐπ' ἔλαττον ἐξαριθμουμένῳ· εἰ γὰρ τὰ ἐπιμεριζόμενα ἐλάττονά εἰσι τῶν ὅλων, προφανὲς ὅτι τὸ τῶν φίλων καθέστηκε πλέον τοῦ οἱ μέν εἰσιν ἀγαθοί, οἱ δὲ φαῦλοι. εἰ γοῦν πάλιν τὰ τῆς συντάξεώς τις ἀφέλοι, οὐ μᾶλλον τὸ φαῦλοι ἐλαττόν ἐστι τοῦ φίλων ἢ περ τὸ ἐναντίον.

Προφανῶν οὐσῶν τῶν τοιούτων συντάξεων οἰήσονταί τινες, ἂν μὴ παραλάβωσι τὸν λόγον, διασώζειν τὰ τῆς συντάξεως. οὗτοι δὲ ὁμοιόν τι πείσονται τοῖς ἐκ τριβῆς τὰ σχήματα τῶν λέξεων παρειληφόσιν, οὐ μὴν ἐκ δυνάμεως τῶν κατὰ παράδοσιν τῶν Ἑλλήνων καὶ τῆς συμπαρεπομένης ἐν αὐτοῖς ἀναλογίας· οἷς παρακολουθεῖ τὸ εἰ διαμάρτοιεν ἔν τινι σχήματι μὴ δύνασθαι διορθοῦν τὸ ἁμάρτημα διὰ τὴν παρακολουθοῦσαν αὐτοῖς ἀπειρίαν. καθά περ οὖν πάμπολλός ἐστιν ἡ εὐχρηστία τῆς κατὰ τὸν Ἑλληνισμὸν παραδόσεως, κατορθοῦσα μὲν τὴν

τῶν ποιημάτων ἀνάγνωσιν τήν τε ἀνὰ χεῖρα ὁμιλίαν, καὶ ἔτι ἐπικρίνουσα τὴν παρὰ τοῖς ἀρχαίοις θέσιν τῶν ὀνομάτων, τὸν αὐτὸν δὴ τρόπον καὶ ἡ προκειμένη ζήτησις τῆς καταλληλότητος τὰ ὁπωσδήποτε διαπεσόντα ἐν λόγῳ κατορθώσει. ἤδη μέντοι καί τινα τῶν κατὰ παράδοσιν οὐ διεσταλμένην ἔχει τὴν προφοράν, τῶν μὲν δισταζόντων εἰ τὸ εἴρηκας Ἑλληνικὸν ἢ περ τὸ εἴρηκες διὰ τοῦ ε̄, ἢ ὡς τινες ἀποφαίνονται, Ἑρμεῖ διὰ διφθόγγου, τοῦ λόγου ἀπαιτοῦντος τὴν διὰ τοῦ η̄ γραφήν. καὶ φαίνεται ὅτι ἡ τοῦ λόγου συνέχεια τὸ ἐν κακίᾳ εἰρημένον παραιρήψει. τοιοῦτον οὖν πάλιν τι παρακολουθήσει καὶπὶ τῆς προκειμένης τηρήσεως· ἀμφιβαλλομένων γάρ τινων τὰ τοῦ λόγου ἐγγενόμενα μετά τινος φυσικῆς παρακολουθήσεως ἀποστήσει τὸ οὐ δέον τῆς συντάξεως. Ἄλλως τε ἐδείξαμεν
11 ὡς οὐ πᾶσα γενικὴ τὸ ἄρθρον ἀπαιτεῖ. Εἰ δὲ
43 ἐν τῇ προκειμένῃ συντάξει εἴποι τις ὅτι ποιητικὴ ἄδεια ἐξαιτουμένη ποιεῖ τὸ καὶ πλεονάζειν καὶ ἐλλείπειν καὶ παραλείπειν τι τῶν τοιούτων, τὸ ἀντιπαραπεπηγμένον τοῦ λόγου παραστήσει καὶ τὸ λεῖπον καὶ τὸ πλεονάζον. φέρε γὰρ πάντα τὰ τῆς τοιαύτης συντάξεως τινα παραλαμβάνειν,

ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο,
ἄλλοι μέν ῥα θεοί τε,

ἄλλοι μὲν χαλκῷ,
ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ,
ἡ δ' ἄλλους μὲν ἔασεν,
ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
ἄλλος δ' ἡνίοχος ἐνδάλλεται,

καὶ ἐπ' ἄλλων πλείστων· πότερον ἐλλείπει τῇ τῶν ἄρθρων παραθέσει ἡ ἐντελής ἐστι; καὶ πότερον ἅπαντα τὰ τοιαῦτα ἢ τινα αὐτῶν; οὐχὶ οὖν εὔχρηστος ὁ λόγος, ἀναπληρῶν μὲν τὸ λεῖπον, οὐ πλεονάζων δὲ ἐν τῷ μὴ δεομένῳ; ἢ ἐκεῖνο ἀπόδειξίς ἐστι, τὸ ἀναμεῖναι τὴν Ζηνοδότου γραφὴν ἐν τῷ

ἄλλοι μέν ῥα θεοί τε;

καὶ σαφὲς ὅτι ἐκεῖ πάλιν οὐ προσοίσομεν, ὅπου οὐδὲ ὁ Ζηνόδοτος,

ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο.

ἀλλὰ τὰ τοιαῦτα παρείσθω, παρολκὴν μᾶλλον παρέχοντα ἢ παράδοσιν πραγμάτων. Πάντοτε οὖν τὸ ἄλλοι συνέξει τὸ ἄρθρον, ἡνίκα τοῦ κατηγορουμένου πλήθους ὅλου ἐστὶν ἐμπεριληπτικὸν τήν τε διαίρεσιν πάλιν μερικὴν ποιεῖται· οὐ γὰρ τῇδε ἔχον οὐ πάντως ἕξει καὶ τὸ ἄρθρον παραλαμβανόμενον. ἐκκείσθω δὲ ὑποδείγματα τῆς μὲν κατὰ τὸ ἔθος προφορᾶς τάδε, οἱ μὲν ἄλλοι Ἕλληνες δασύνουσι τὰ ἐν τῇ λέξει φωνήεντα, Αἰολεῖς δὲ

μόνον ψιλοῦσι· τμῆμα γὰρ τῶν Ἑλλήνων οἱ Αἰολεῖς. καὶ εἰ τῇδέ τις μᾶλλον ἀποφαίνοιτο, οἱ μὲν ἄλλοι Δωριεῖς τηροῦσι τὸ Θ, Λάκωνες δὲ καὶ εἰς Σ μεταβάλλουσι· πάλιν γὰρ ἐμπεριληπτικὸν γέγονε πλήθους, τῶν ὑποτεμνομένων Δωριέων. ὁ αὐτὸς λόγος παρακολουθήσει κατὰ τὴν παροῦσαν ἔφοδον ἐπὶ πάντων τῶν τοιούτων. τοῦ δὲ ἑτέρου, ἄλλοις ἀνθρώποις ὁμίλει, μὴ τοῖς περὶ Τρύφωνα· οὐ γὰρ δήγε νῦν τὸ ἄλλοι πάντων ἀνθρώπων περιληπτικόν ἐστιν. ἄλλοι μὲν γὰρ καὶ χαρίζονται ἡμῖν, σὺ δὲ καὶ προσαφαιρῇ· ἄλλους ὕβριζε, μὴ ἡμᾶς· οὐδεμία γὰρ ἀνάγκη ἐνθάδε προσνέμειν τὸ ἄρθρον, ὅπου γε καὶ ῥητή ἐστιν ἡ φράσις καὶ εὐπαράδεκτος· ἡ μέντοι προκειμένη ἀσύνετος, εἰ δίχα τοῦ ἄρθρου λέγοιτο, ἄλλοι μὲν Ἕλληνες δασύνουσι τὰ φωνήεντα, Αἰολεῖς δὲ οὐδαμῶς. ταύτῃ γοῦν τῇ ἐφόδῳ διακρινοῦμεν καὶ τὸ παρὰ τῷ ποιητῇ ἐμπεριεκτικὸν καθεστὸς θεῶν καὶ ἀνθρώπων, τὸ ἄλλοι· καὶ ἐπιμεριζόμενον εἰς τὸν Δῖ ἀπαιτήσει τὸ ἄρθρον· οὐ μὴν τὸ

ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι·

οὐ γὰρ τῇδ' ἔχει. τό τ'

ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο

οὐ πάντως ἐξ ἀνάγκης παραλήψεται τὸ ἄρθρον· τί γὰρ εἰ οὕτω λέγει, ἐνίοις ἐπίτασσε;

καθάπερ ἐν τῷ βίῳ φαμὲν ἄλλοις προσέρχου, μὴ ἐμοί, καὶ ἔτι ἄλλους ὕβριζε, μὴ ἐμέ, οὐ τοῦτο προστάσσοντες, ἅπαντας τοὺς ἐν ὑποσάσει ὑβρίζειν, τοὺς δὲ ἐπιτηδείους. ἐκεῖνό γε μὴν πάλιν ἐλλείπει,

ἡ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρήῳ δέκτο δέπας·

ἐμπεριεκτικὸν γάρ ἐστιν ἁπάντων τῶν συνευωχεμένων θεῶν. οὔ γε μὴν τὰ τοιαῦτα ἐλλείπει,

ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ·

οὔτε γὰρ τῶν πάντων τὸ ἄλλοι νῦν περιεκτικόν ἐστιν, οὔτε ἐκ τῶν πρότερον ἐπιμερίζεται τὸ ἐπιφερόμενον

ἄλλοι δ' αἴθωνι σιδήρῳ·

ἐν ἴσῳ γὰρ ἀριθμῷ σχεδὸν τὰ τῆς συντάξεως ἐγένετο. προσκείσεται καὶ τὸ

ἄλλοι μὲν γὰρ πάντες, ὅσοι θεοί εἰσ' ἐν Ὀλύμπῳ καθιστάμενον οὕτως· οἱ μὲν γὰρ ἄλλοι θεοὶ πάντες, ὅσοι εἰσὶν ἐν Ὀλύμπῳ, πάντες σοί τ' ἐπιπλήττονται διὰ τὴν τοῦ ὅσοι σύνταξιν, καθὸ προέλαβε τὴν ἀρχήν· δεδείξεται γὰρ ὅτι τῷ ἀοριστῶδει ἐμποδίζει τὰς τῶν ἄρθρων παρεμπτώσεις.

12 Ἔτι πᾶσα δοτικὴ ἐπιθετικοῦ ὀνόματος κατ' ἐπισταλτικὴν σύνταξιν συνέχει τὸ ἄρθρον,

Διονύσιος Τρύφωνι τῷ ἀγαθωτάτῳ χαίρειν, τῷ τιμιωτάτῳ· ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου λεγόμενον. ἔχει δὲ λόγον ἡ συνέχεια τοῦ ἄρθρου τοιοῦτον. ἐν τοῖς κυρίοις ὀνόμασι παρεμπίπτει ἡ ὁμωνυμία, ἧς τὸ ἀμφίβολον οὐκ ἀπολύεται δίχα τῆς ἐπιτρεχούσης τὰ ὀνόματα ἐπιθετικῆς προσθέσεως, ὡς φαμεν Τρύφων ὁ γραμματικός, Δίων ὁ φιλόσοφος, ἢ κατ' ἐθνικὴν σύνταξιν Ἀπολλόδωρος ὁ Ἀθηναῖος, Ἀπολλόδωρος ὁ Κυρηναῖος· καὶ οὕτω τὰ κύρια ὑπεκλύεται τῆς εἰς πλείονα πρόσωπα συντεινούσης ἐννοίας. διὸ καὶ τῇ προκειμένῃ συντάξει ταὐτὸν ἐνεχώρησεν. ἔνθεν καὶ ὁ Μενέλαος μεταπεμπόμενος τὸν Αἴαντα οὐκ ἀπιθάνως διὰ δύο ἐπιθέτων τὸν Αἴαντα τῆς ὁμωνυμίας ἀπέλυσεν ἐν τῷ

ἀλλά περ οἷος ἴτω Τελαμώνιος ἄλκιμος Αἴας,

καὶ ἐν ἑτέροις

Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι.

Σαφὲς δ' ὅτι καὶ ἡ προκειμένη σύνταξις καὶ εὐφημότερα τὰ ἐπιθετικὰ ἀπαιτεῖ ἕνεκα τοῦ διὰ φιλοφροσύνην παραλαμβανομένου ῥήματος, λέγω τοῦ χαίρειν, περὶ οὗ τῆς συντάξεως καὶ ὅλως τὰ τῆς συνεπείας κατὰ τὸ δέον εἰρήσεται. ἀλλ' ὡς
47 πάλιν τὰ ἐπιθετικὰ τῶν ὀνομάτων διὰ πλείονος ὕλης χωρεῖ, προῦπτον· ἵν' οὖν καὶ τὸ τοιοῦτον ἀποστῇ τῆς συντάξεως, ἀναγκαίως προστίθεται

τὸ ἄρθρον, σημαῖνον ἔσθ' ὅτε καὶ μοναδικὴν ἀναφοράν, καθὼς καὶ ἐν τοῖς προκειμένοις ἀπεδείξαμεν. Ἔστι καὶ οὕτω φάναι. τὰ ἄρθρα ἔσθ' ὅτε προστιθέμενα ἰδιότητα ὀνόματος παρίστησιν· οὕτω γὰρ τὸ ἐκ Δήλου τὸ πλοῖον εἰς Ἀθήνας παραγενόμενον κατέπλευσεν εἶχε τὴν συνέχειαν τοῦ ἄρθρου ἐν τῷ τὸ πλοῖον κατέπλευσε, καθὸ καὶ [ὡς] τὸ ὁ ποιητὴς ὑπαγορεύει τὸν Ὅμηρον. δεόντως ἄρα καὶ κατὰ τὸ τοιοῦτον ἡ πρόσθεσίς ἐστι τοῦ ἄρθρου, συνιδιάζουσα τὸ ἐπιθετικὸν τῷ κυρίῳ ὀνόματι.

13 Ὑπὸ τὸν αὐτὸν λόγον πίπτει καὶ ἡ τοιαύτη σύνταξις, βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἔστι γὰρ τὸ συμφραζόμενον τοιοῦτον, Ἀθηναίοις χαίρειν· καὶπειδὴ οὐχ ἅπασι ταὐτὸ παρείπετο — ἦσαν γὰρ οἱ μὲν δημόται, οἱ δὲ βουλευταί —, ἐδέετο δὲ τοῦ διαστέλλοντος ἐπιθέτου ἡ ἐπισταλτικὴ σύνταξις, ἀπεμέρισε τοὺς μὲν βουλευτὰς διὰ τὸ τῇ βουλῇ, τοὺς δὲ δημότας διὰ τὸ τῷ δήμῳ, ὥστε πᾶν τὸ συμφραζόμενον εἶναι τοῖς βουλευταῖς καὶ τοῖς δη-
48 μόταις. καὶ σαφὲς ὅτι τὴν τοιαύτην ἄθροισιν ἀπηνέγκατο τὰ ἀθροιστικὰ ὀνόματα, ἃ περ ἑνικῶς μὲν λέγεται, πληθυντικῶς δὲ νοεῖται. καὶ διὰ τοῦτο εὐμαρὲς τὸ

ἀγρόμενοι πᾶς' δῆμος·

πρὸς τὸ ὑπακουόμενον τὸ σχῆμα ὑπήκουσεν.

Ἐδείχθη ἄρα ὡς κατηναγκασμένη ἐστὶν ἡ σύν-
ταξις τοῦ ἄρθρου καὶ τῷ τῇ βουλῇ καὶ τῷ
δήμῳ χαίρειν.

14 Κἀκείνῳ δ'ἐπιστατέον, τί δή ποτε οὐκ ἐν
ἄλλῃ πτώσει προσεχώρει τὰ τῆς συντάξεως, 5
καὶ μάλιστά γε τῇ δοτικῇ, ἧς ἐστὶ σύνταξις,
μόνῃ δὲ τῇ γενικῇ. ἢ ὅτι τὰ ἐπιμεριζόμενα,
μέρη ὄντα τοῦ ὅλου ἀθροίσματος, κτητικὴν
σύνταξιν ἀπήτει, δι' ἄλλης δὲ πτώσεως οὐκ ἐμ-
φανίζεται κτῆσις ἢ διὰ μόνης γενικῆς. 10

Καὶ τοσαῦτα περὶ τῶν ἀεὶ συνυπαρχόντων
ἄρθρων τοῖς πτωτικοῖς. ἐξῆς χωρητέον καὶ ἐπὶ
τὰ ἀδυνατοῦντα μόρια τὴν σύνταξιν τῶν ἄρ-
θρων παραδέξασθαι.

15 Ἀνέφικτον τὸ ἀλλήλων εἰς ἄρθρου παρά- 15
θεσιν. καὶ προφανές ἐστιν ἐκ τῆς παρὰ πᾶσι
χρήσεως καὶ τοῦ συμπαρεπομένου λόγου. μετὰ
ῥήματος γὰρ διαβατικὴν προσώπων διάθεσιν
σημαίνει,

ἀλλήλους τρώσητε, 20
ἀλλήλους δ'ἐλήϊσαν,
15 ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα.

αἱ δὴ τοιαῦται συντάξεις ἐν ὀρθῇ καὶ πλαγίᾳ
πτώσει νοοῦνται, ἔστι δὲ τὸ προκείμενον ὄνομα
ἐν ὀρθῇ καὶ πλαγίᾳ· ἄλλοι γὰρ ἄλλων καὶ 25
ἄλλοι ἄλλοις καὶ ἄλλοι ἄλλους. ὁποτέρᾳ οὖν
πτώσει ἐπὰν προσέλθῃ τὸ ἄρθρον, ἀκαταλλη-
λότητα παρέξει. εἰ γὰρ τῇ λεγομένῃ ὀρθῇ, τὸ

ἐγκείμενον τῆς πλαγίας οὐ παραδέξεται· καὶ εἰ τῷ τῆς πλαγίας, τὸ ἐγκείμενον τῆς ὀρθῆς ἀντικείσεται· ἑνὶ γὰρ ὀνόματι δύο προτακτικὰ ἄρθρα συντάττεσθαι ἀμήχανον. καὶ οὕτως ἀνέφικτος ἡ σύνταξις ἐγένετο.

16 Ὁμοίως ἀνέφικτον τὸ ἄρθρον πρὸς σύνταξιν τὴν τοῦ ἀμφότεροι, καὶ τῆς χρήσεως τὸ τοιοῦτον ἀπαγορευούσης καὶ τοῦ συμπαρεπομένου λόγου. ἐξ οὗ δείκνυται ὡς οὐ ταὐτόν ἐστι τῷ δύο τὸ ἀμφότεροι, εἴ γε κατὰ τὸν δέοντα λόγον τῷ δύο καὶ τὸ ἄρθρον προστίθεται, καθὸ καὶ τοῖς ἑξῆς ἅπασιν ἀριθμοῖς, οὐ μὴν τῷ προκειμένῳ μορίῳ. ἔστι δὲ αἰτία ἥδε. ἐπὶ δυάδος ἐγνωσμένης τὸ ἀμφότεροι παραλαμβάνεται· ἔστιν οὖν φάναι δύο ἄνθρωποι τρέχουσιν, ὡς ἂν τοῦ δύο πρώτην γνῶσιν τὴν κατὰ τῶν ἀνθρώπων ὑπαγορεύοντος, τοῦ δὲ ἀμφότεροι δηλοῦντος τὴν πάλαι γνῶσιν. ἔνθεν οὐδὲ ἔστι προσθεῖναι μετὰ τὴν τοῦ δύο σύνταξιν πρὸ τοῦ ἄνθρωποι τὸ ἄρθρον, δύο οἱ ἄνθρωποι τρέχουσι· πρώτη γὰρ ἦν ἀφήγησις, ἡ δὲ πρόσθεσις τοῦ ἄρθρου ἐδείχθη ἀναπολοῦσα τὰ προδεδηλωμένα. μετὰ μέντοι τὸ ἀμφότεροι, ἀμφότεροι οἱ ἄνθρωποι τρέχουσιν, ἀμφότεροι οἱ φίλοι τρέχουσι· προέγνωστο γὰρ ἡ τοῦ ἀμφότεροι δυάς, καὶ διὰ τοῦτο εὐέφικτος ἡ τοῦ ἄρθρου παράθεσις· ἀναπολη-θεῖσα γοῦν ἡ τοῦ δύο σύνταξις δεκτικὴ γίνεται

τοῦ ἄρθρου, οἱ δύο ἄνθρωποι τρέχουσι. προῦπτον οὖν ὅτι ἡ τοῦ ἀμφότεροι σύνταξις, τὸ εὔχρηστον τοῦ ἄρθρου ὑπαγορεύουσα, ὡς περισσὴν τὴν τούτου σύνταξιν ἀπεώσατο. τὸ γὰρ

ἀμφότεροι μέμασαν πολεμίζειν ἠδὲ μάχεσθαι

κατηγορεῖ τῶν ἐγνωσμένων διὰ τῶν προκειμένων λόγων, λέγω δὲ Ἕκτορος καὶ Ἀλεξάνδρου,

ἐξέσσυτο φαίδιμος Ἕκτωρ

καὶ

τῷ δ' ἅμ' Ἀλέξανδρος κὶ ἀδελφεός.

Οὐ λέληθέ με ἡ ὑπαρκτικὴ τῶν ῥημάτων σύνταξις παραδεχομένη μετὰ τοῦ ἀμφότεροι τὰ συνόντα ὀνόματα χωρὶς ἄρθρου, ἀμφότεροι φίλοι εἰσίν, ἀμφότεροι ἄνθρωποί εἰσιν, ἀμφότεροι γραμματικοὶ ὀνομάζονται, καθὸ ὑπέκειτο μέν τις δυὰς ἡ τοῦ ἀμφότεροι, τὸ δ' ἐπιγεγεννημένον ταύτῃ ἡ ὑπαρκτικὴ σύνταξις ἀφηγεῖται, ὡς ἐν τοῖς ἑξῆς τὸ τοιοῦτον ἀκριβέστερον ἀποδοθήσεται.

17 Μετὰ μέντοι τὰς εἰρημένας συντάξεις τῶν ἄρθρων ἀκολούθως σκεπτέον, εἰ καὶ αἱ κλητικαὶ τῶν ὀνομάτων κατὰ τὴν κοινὴν δόξαν δεκτικαί εἰσιν ἄρθρων. διαστολὴν γὰρ ἐξ αὐτῶν φασὶ γίνεσθαι τῶν συνεμπιπτουσῶν εὐθειῶν τε καὶ κλητικῶν, ὁ Θέων - ὦ Θέων, ὁ Ἑλικών - ὦ Ἑλικών. εἰ γοῦν καὶ αἱ φωναὶ ἐναλλαγείησαν

τῶν ὀνομάτων κατά τι ἐθνικὸν ἔθος, πάλιν ἡ παράθεσις τοῦ ἄρθρου τὸ σχῆμα διελέγξει. κλητικῆς μὲν γάρ ἐστι τὸ Θυέστα· ἀλλ' ὁπηνίκα προσλαμβάνει τὸ ὁ ἄρθρον, τὸ πτωκαῦτα συντάξεως τῆς κατ' εὐθεῖαν τυγχάνει,

αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι λείπε·

καὶ εἰ εὐθείας εἴη, πάλιν ἡ παράθεσις τοῦ ἄρθρου κλητικὴν σύνταξιν ἀποτελεῖ,

ὦ φίλτατ' Αἴας

καὶ ἔτι

ὦ φίλος, οὐ σέ γ' ἔολπα.

διστάζεται τὸ παρὰ Μενάνδρῳ

ὦ Λάχης Λάχης,

πότερον ἐν σχήματί ἐστι τῷ προκειμένῳ, ἢ δεόντως μετὰ τοῦ ἄρθρου καὶ τὴν πτῶσιν ἔχει τῆς κλητικῆς. ἔστιν εἰς τὸ τοιοῦτο πάμπολλα παραθέσθαι.

18 Ὁ μὲν οὖν Τρύφων ἐκ τῶν παρεπομένων τῇ φωνῇ, ὡς ἔστι κατὰ πολὺ ἀφεστῶσα τῆς ἀκολουθίας τῶν ἄρθρων, περιγράφει τὸ μόριον τῆς τούτων ἰδέας. ἀλλὰ καὶ ἔτι διὰ τῆς ἐννοίας, ἐν
52a οἷς τὰ μὲν ἄλλα ἄρθρα τὴν ἐν τρίτοις προσώποις σύνταξιν ἀνεδέχετο, τὸ δὲ ὦ τὴν ἐν δευτέροις. Ἃ περ πάλιν ἀνασκευάζει, εἰς τὸ κοινὸν τῆς δόξης προαγόμενος. καὶ πρὸς μὲν τὸν ἀπὸ τῆς φωνῆς λόγον φησὶ μὴ δεῖν τὰ ἄρθρα ἐν ἀκολουθίᾳ εἶναι, καθότι καὶ ἄλλα πολλὰ ἀνακόλουθα κατὰ πτώσεις καὶ τὰ συνόντα γένη

οὐκ εὔλογόν τε ἡγεῖται μιᾷ φωνῇ κεκλίνθαι τῶν ἄρθρων, ἵνα μὴ ἐν μιᾷ λέξει μέρος λόγου καταχωρίζηται. πρὸς δὲ τὸν ἀπὸ τῆς ἐννοίας λόγον, ὡς οὐκ ἐν τρίτῳ προσώπῳ καταγίνεται τὸ ὦ, ἐκεῖνό φησιν, ὡς οὐδὲ ἡ κλητικὴ ὄνομα εἴη, ἐπειδὴ πρὸς δεύτερον πρόσωπον, τῶν ἄλλων πτώσεων τὴν ἐν τρίτοις προσώποις σύνταξιν ποιουμένων, καὶ εἰ ἀπεμφαῖνον τὸ τὴν κλητικὴν ὄνομα μὴ παραδέχεσθαι, ἀπεμφαῖνον ἄρα καὶ τὸ τῆς κλητικῆς ἄρθρον μὴ φάναι ἄρθρον, ὅτι σύνταξιν τὴν πρὸς τὸ δεύτερον πρόσωπον ποιεῖται.

19 Ἀλλ' ἔστι καὶ πρὸς ταῦτα φάναι, ὡς τὸ πρῶτον οὐκ ἀληθεύει τὸ μὴ ἐν ἀκολουθίᾳ εἶναι τὰ ἄρθρα· ἐν γὰρ τῇ δευούσῃ ἀκολουθίᾳ καταγίνεται, αὐτὸ μόνον τῆς εὐθείας ἐμπαθοῦς γενομένης. ἀλλ' ὅτι ὀφείλει καὶ ἐν ἀκολουθίᾳ εἶναι, δῆλον ἐκ τοῦ ἐνηρτῆσθαι αὐτὸ τοῖς κατὰ 53 ἀκολουθίαν πτωτικοῖς, καὶ ἕνεκα τούτου συνελεύσεται τῇ τούτων ἀκολούθῳ κλίσει· ἐπεὶ πῶς ἂν ἄρθρον γένοιτο; ἀλλ' οὐδ' ἐκεῖνό ἐστιν ἀναγκαστικὸν τοῦ πάντως ἐν θέμασιν αὐτὸ καταγίνεσθαι, ἵνα μὴ διὰ μιᾶς λέξεως ἀκολούθου μέρος λόγου καταχωρίζηται, τῷ μὴ ἐν πλήθει λέξεων τὰ μέρη τοῦ λόγου διακεκρίνθαι, ἐν δ' ἐννοίᾳ ἰδίᾳ. Ἀλλ' εἰ καὶ τὸ τοιοῦτόν τις μὴ δοίη, τὸ ἐν ἀκολουθίᾳ εἶναι τὰ ἄρθρα, καθὸ καὶ μέρη λόγου ὄντα ἀνακόλουθα, οὐ μὴν

διαφεύγοντα τὸν μερισμὸν τῆς ἐννοίας ὑπὸ τὴν αὐτὴν ἰδέαν τοῦ μερισμοῦ παραλαμβάνεται — εἴ γε τὸ ἐγὼ τοῦ νῶϊ διέστηκε κατὰ πολύ, καὶ ἔτι τὸ ἡμεῖς, καὶ μενούσης τῆς ἐννοίας μένει ἡ ταυτότης τοῦ μερισμοῦ — ,ἐκεῖνό γε ἀληθεύει, ὡς τὰ ἐκτὸς γινόμενα τῆς ἰδίας ἐννοίας, κἂν πάνυ τῆς δεούσης ἀκολουθίας ἔχηται κατὰ φωνήν, ὡς ἔχει τὰ τῆς ὁμοφωνίας, οὐκ εἰς τὸν αὐτὸν μερισμὸν καταλήψεται. πῶς οὖν οὐ μᾶλλον περιγραφήσεται τοῦ εἶναι ἄρθρον τὸ ὦ, ἀπονεῦσαν καὶ τὴν ἀκολουθίαν τῶν φωνῶν κατὰ πάντα τρόπον καὶ ἔτι τὴν ἔννοιαν τοῦ ἄρθρου; ὑποτεμνέσθω δὲ ὁ λόγος εἰς τὸ τοιοῦτον; ὡς οὔτε παρὰ τὸ ἀκόλουθον τῶν φωνῶν οὔτε μὴν παρὰ τὸ ἀνακόλουθον τὰ τοῦ λόγου καταστήσεται μέρη, ὡς δὲ πρόκειται, ἐκ τῆς παρεπομένης ἰδιότητος. Φησὶ γοῦν ὁ Τρύφων, καθότι ἡ κλητικὴ ὄνομα, κἂν δεύτερον πρόσωπον ᾖ, καὶ τὸ ὦ ἄρθρον ἐστὶ συναδεῦον τῇ συνηρτημένῃ κλητικῇ. ἀλλὰ τὸ μὲν ὄνομα διασώ-
54 ζεται τὸ ἴδιον κατὰ πᾶσαν πτῶσιν, εἴ γε οὐκ ἴδιον αὐτῷ παρέπεται τὸ κατὰ πρόσωπα ἐγγίνεσθαι, ὅπου γε καὶ ἐν πρώτῳ καὶ δευτέρῳ παραλαμβάνεται, εἰμὶ Ὀδυσσεύς, καὶ ἐπὶ δευτέρου προσώπου Ὀδυσσεὺς εἶ· συνοῦσαν γὰρ ἔχει τὴν ἰδίαν ποιότητα. ἡ γε μὴν τοῦ ἄρθρου παράθεσις ἓν ἰδίωμα ἔχει τὴν τῶν τρίτων προσώπων ἀναπόλησιν, ἐναντιώτατον

δ' ἔχει

δ'ἔχει τὸ ὑπ' ὄψιν παραλαμβανόμενον πρόσωπον, ὅπου γε καὶ τὸ ἐμός ἐστι, προσλαμβάνων τὸ ἄρθρον κατὰ τὸ τρίτον πρόσωπον, οὐκέτι προσλαμβάνει ἐν τῷ ἐμὸς εἶ διὰ τὴν πρὸς τὸ δεύτερον πρόσωπον σύνταξιν. εἴ περ οὖν ταὐτὸ μόριον παρὰ τὸ διάφορον πρόσωπον καὶ ἄρθρον προσλαμβάνει καὶ οὐ προσλαμβάνει, πῶς οὐ μᾶλλον καὶ τὸ τῇ φωνῇ παραλλάξαν ἐστήσεται τῆς τοῦ ἄρθρου παραθέσεως, μάλιστά γε τῆς φωνῆς ἐνδειξαμένης διὰ τῆς πάσαν ἀκολουθίας τὸ ἀκοινώνητον τῶν ἄρθρων; ζητούσης ἄρα τῆς κλητικῆς δεύτερον πρόσωπον, περισσὸν ζητεῖν εἰ τὸ ὦ ἄρθρον ἐστί. Πῶς οὖν κατελέχθη πρὸς πάντων; φαίην ἂν συνεκδρομῇ τῶν ἄλλων πτώσεων, ἐπεὶ τὰ ταύταις συνιδιάσαντα ἄρθρα ἐκαλεῖτο, ᾧ λόγῳ συλλαβαὶ καὶ αἱ μονογράμματοι· ἦν δὲ ἴδιον κλητικῆς τὸ ὦ.

Οὐ παρέλκον δ'ἐστὶ καὶ διὰ τῆς φωνῆς παραστῆσαι τὸ ἀκόλουθον τῶν ἄλλων ὡς πρὸς τὴν ἀντιπαράθεσιν τοῦ ὦ. Τὸ μὲν τῆς εὐθείας ὁ, ἀποβαλὸν τὸ τ, ἀναγκαίως καὶ ἕτερον πάθος ἀνεδέξατο, λέγω τὴν ἀποβολὴν τοῦ σ· ἔμελλε γὰρ ταὐτὸ γίνεσθαι τῷ ὑποτακτικῷ, οὗ τὰ τῆς συντάξεως οὐ ταὐτὰ ἀπαιτεῖ τῷ προτακτικῷ, ὡς δεδείξεται ἐν τῷ περὶ ὑποτακτικῶν, καὶ ἐντεῦθεν ἔμελλε τὰ τοῦ λόγου ἀκαταλληλότερα φαίνεσθαι. ὅτι γὰρ καὶ τὸ σ

λείπει, σαφὲς ἐκ τοῦ τὴν αὐτὴν εἶναι καταλη-
ξιν προτακτικῶν καὶ ὑποτακτικῶν· ἔστι δὲ τὸ
ὑποτακτικὸν ὅς, καθότι καὶ ἐπὶ τοῦ οὗ καὶ
τοῦ, καὶ ᾧ καὶ τῷ, καὶ ὅν καὶ τόν. σαφὲς κἀκ
τοῦ πληθυντικοῦ· τῶν γὰρ εἰς οι πληθυντι-
κῶν τὰ ἑνικὰ εἰς ος, κἂν ἐκ συνῃρημένων ᾖ, ὡς
ἐπὶ τοῦ χρυσοῦς καὶ τῶν ὁμοίων. συμφανὲς δὲ
κἀκ τῶν πλαγίων πτώσεων, εἴ γε ἅπασαι αἱ
τοιαῦται τῶν εἰς ος εὐθειῶν εἰσί. καὶ ἔτι ἡ Θεσ-
σαλικὴ διαίρεσις κατὰ γενικήν, λέγω ἐπὶ τῆς
τοῦο, ὡς καλοῖο. θηλυκοῦ τε τοῦ η· πάλιν γὰρ
τοῖς εἰς ος λήγουσι τὸ τοιοῦτον γένος παράκει-
ται· οὐ γὰρ εἰς η ἔληξεν, εἰ μὴ συντάξεως εἶ-
χετο τῆς τοῦ τ, καθότι καὶ τῷ νοητός τὸ
21 νοητή παράκειται. Ἰδοὺ καὶ τὸ λεῖπον τ ἀνεπλή-
56 ρωσε τὸ Δώριον ἔθος, τοὶ ἄνθρωποι, ταὶ
γυναῖκες, οὐκ ἀπιθάνως· ἡ γὰρ διάλεκτος
κατάπυκνος ἐπὶ τὴν τοῦ τ χρῆσιν, προτί, λέ-
γοντι, φαντί, πέρυτι, τύ, ἄλλα μυρία· εἰ γὰρ
ἐκ μεταπτώσεώς ἐστι τὰ τῆς χρήσεως, πολλῷ
μᾶλλον ἐφελκύσεται τὸ λεῖπον. σαφὲς κἀκ τοῦ
πνεύματος· οὐ γὰρ ἄλλως δασύνεται τὰ ἄρθρα,
εἰ μὴ ἀποβάλοι τὸ τ. ἔστι πιστώσασθαι κἀκ
τοῦ οὐδετέρου, ἀρξαμένου μὲν ἀπὸ τοῦ τ, λή-
ξαντος δὲ εἰς ο, οὗ καθὸ ἀπήτει ὁ παρασχη-
ματισμὸς τῶν εἰς ος ληγόντων ἀρσενικῶν, καὶ
φαίνεται ἅτι εἰς ἐμφανισμὸν τοῦ συγκεχυμένου
γένους κατὰ τὰς τοιαύτας αἰτιατικὰς τὸ πάθος

οὐκ ἀπίθανον ἐγένετο· αἱ γοῦν ἀντωνυμίαι, οὐ βοηθούμεναι τῇ τοῦ ἄρθρου παραθέσει, ἐμιμήσαντο κατὰ τὸ οὐδέτερον τὸ λῆγον τοῦ ἄρθρου, ἐκεῖνο, τοῦτο, καὶ κατὰ συνεκδρομὴν τούτων, ὅτε φαμὲν αὐτό. ἀναλογώτερον οὖν ὁ Ἀττικός, ἀποδοὺς τὸ ἄρθρον τῇ ἀντωνυμίᾳ, ἀνεπλήρου τὸ εἰς παρολκὴν πάθους παραλαμβανόμενον ν̄ ἐν τῷ ταὐτόν.

Ἔστιν οὖν ἐκεῖνο φάναι, ὅτι δι' ὅσων συνάγεται λόγων ἡ ἀκολουθία τῶν ἄρθρων, διὰ τοσούτων ἀντιστατεῖ ἡ τοῦ ὦ φωνή. εἰ αἱ κλίσεις τῶν ἄρθρων μιμοῦνται τὴν ἐν τοῖς ὀνόμασι κλίσιν, κλητικὴ δ' οὐδέποτε πλείονι χρόνῳ χρῆται
57 εὐθείας, πῶς τὸ ὦ πλεῖόν ἐστι τοῦ ὁ; τί γὰρ μᾶλλον οὐκ εἰς ē ἔληξεν ὡς πρὸς ἀκολουθίαν γενικῆς τῆς τοῦ καὶ αἰτιατικῆς τῆς τόν; καὶ ἐν θηλυκοῖς δὲ διὰ τί οὐχ ὁμοφωνεῖ ἡ εὐθεῖα τῇ κλητικῇ; καὶ ἔτι ἐν οὐδετέροις πῶς οὐ κατὰ τὴν πληθυντικὴν προφορὰν αἱ εὐθεῖαι ταῖς κλητικαῖς ὁμοφωνοῦσιν, ὅ περ ἔστιν ἐπὶ παντὸς πτωτικοῦ παραδέξασθαι τοῦ συνέχοντος κλητικήν; πῶς δασυνομένων τῶν δίχα τοῦ τ̄ ἐκφερομένων ἄρθρων αὐτὸ ψιλοῦται; πῶς δ' οὐχ ὁμοτονεῖ ταῖς εὐθείαις; οὐ γὰρ ἀνέφικτον τὸ ὦ εἰς ὀξεῖαν τάσιν, καθότι ἔνιαι τῶν συλλαβῶν. τί δέ, εἰ περισπᾶται, οὐκ ἐνεκλίθη κατὰ τὰς Αἰολικὰς ἀναγνώσεις ὑπ' Ἀριστάρχου, καθὸ καὶ τὰ ἄλλα τῶν περισπωμένων ἄρθρων; ἢ ἐν

ὑπονοίᾳ καὶ αὐτὸς οὐκ εἶχε τὸ μόριον. διὰ τί οὐκ ἀπὸ τοῦ τ ἤρξατο ὡς τὰ ἄλλα τῶν προτακτικῶν; οὐ γὰρ ἀφορμὴ τῆς ἀποβολῆς τοῦ τ, διότι ὑποτακτικὸν οὐκ ἔχει· ἢ καθότι οὐδὲ προτακτικὸν ἄρθρον ἐστί. Πρὸς τὴν συνέμπτωσιν τῶν γενῶν, φησὶ Τρύφων, μηδὲ τὸ τῶν ἄρθρον χρὴ παραδέχεσθαι, ὅτι τρισγενές· εἰ δὲ τὸ τῶν ἄρθρον, καὶ τὸ ὦ ἄρθρον, τὴν αὐτὴν συνέμπτωσιν παραδεξάμενον. Ληρῶδες δὲ τὸ τοιοῦτον. πάνυ γὰρ ἄρθρον τὸ τῶν διὰ τὴν συνέμ-
58 πτωσιν, εἴ γε συναπήχθη τῷ πρὸς ὃ ἤρτηται· μεμίμηται γὰρ τὴν φίλων, μέσων, καλῶν. καὶ σχεδὸν πᾶσα συνέμπτωσις γένους μίμημά ἐστιν ὀνοματικῆς συνεμπτώσεως κατὰ γένη, κἂν ἐν σχήματι καταγίνηται, ὡς ἐν τῷ μὰ τὼ θεώ· ὅμοιον γάρ ἐστι τῷ τὼ καλυψαμένω· καὶ τοσούτῳ μαλλον ἐπιτέταται τὸ ἄρθρα εἶναι. καὶ εἰ τὸ τοιοῦτον ἀληθές, κατὰ πολὺ διώκεται τὸ ὦ, κατὰ μηδένα τρόπον συνέμπτωσιν ὀνοματικὴν ἀναδεδεγμένον. Τὰ μετὰ διαφόρου ἀριθμοῦ καὶ διαφόρου γένους συμφερόμενα ἄρθρα μὲν οὔ ποτ' ἐστίν, ἄκλιτα δὲ μόρια, σύνδεσμοι, ἐπιῤῥήματα, προθέσεις. καὶ σαφὲς ὅτι ἐν ᾧ οὐ σύνδεσμος, οὐ πρόθεσις, ἐν τούτῳ ἐπίῤῥημα κλητικὸν ἄκλιτον. Ἀλλὰ διὰ τί συμφέρεται ὀνόματι; ὅτι κλητικὸν ἐπίφθεγμα, ὡς τὰ ὀμοτικά, λέγω τὸ νή, μά, τῇ αἰτιατικῇ πτώσει, καὶ οὐ πάντως ἄρθρα. ὧν καὶ ἡ

σύνταξις ἐπὶ τὰ συγκεχυμένα τοῦ ὦ συντείνει· παντὶ γὰρ ἀριθμῷ συμφέρεται, παντὶ γένει· δείξομέν τε ὡς καὶ σύνδεσμοι ἐπὶ πτώσεις φέρονται διαφόρους, ἕνεκεν Ἀπολλωνίου, ἕνεκεν Διονυσίου,

εἵνεκ' ἐμῆς ἔριδος καὶ Ἀλεξάνδρου.

καὶ οὐ τοῦτο τὸ ἐξαίρετον τῆς πτώσεως, ἀλλ' ὅτι ἐπιδέξεται τὸν ἕνεκα σύνδεσμον. οὐκ ἄρα παρὰ τὰς ἐξαιρέτους συντάξεις ἀποστήσεται τὰ μόρια τῆς ἐννοίας.

22 Ὁμοίως δὲ καὶ τὰ πευστικὰ ὀνόματα ἀπαραδέκτα ἐστὶ τῆς τῶν ἄρθρων παραθέσεως, ἐπεὶ ἃ μὲν ἔμφανίζει πρόσωπον προδεδηλωμένον, ἃ δὲ ἐν ἀγνοίᾳ καθέστηκε προσώπου, καθά περ καὶ ἐν τοῖς προκειμένοις ἐδείχθη.

23 Οὐχὶ οὖν οἰήσεταί τις ἐν τῷ ὁποῖος ἄρθρον εἶναι τὸ ο, ἔκ τε τῆς φωνῆς, καθὸ δασύνεται οὐ δυναμένου τοῦ ο δασύνεσθαι πρὸ τοῦ π, καὶ καθότι ἐπί τι ἀναφέρεται πρόσωπον ἡ σύνταξις αὐτοῦ ἐν τῷ ὁποῖός ἐστι Θέων, τοιοῦτός ἐστι καὶ Τρύφων; Ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτον φάναι ὅτι οὐ τῷ ποῖος τὸ ὁ προσῆλθεν, ἀλλ' ἔστιν ἁπλοῦν ἓν μέρος λόγου τὸ ὁποῖος, σημαῖνον οὐ τὴν ἐν ταῖς ἄρθροις ἀναφοράν, ὡς φαμεν ὁ ἄνθρωπος παρεγένετο, ὁ ἵππος ἔδραμεν. ἐπί τινι γὰρ ἐγνωσμένῳ κατὰ τὴν ἰδίαν ποιότητα τὸ τοιοῦτον παραλαμβάνεται· ἡ γε μὴν διὰ τοῦ ὁποῖος ἀναπό-

λησις ὁμοιωματικὴν ἀνταπόδοσιν ζητεῖ, καθά περ ἐπὶ τοῦ οἷος. ταὐτὸ παρακολουθεῖ καὶ ἐπὶ ταῦ ὅσος καὶ ἡλίκος· οὐ γὰρ δή γε καὶ ἐπὶ τούτων ἄρθρων ἔννοιά τίς ἐστιν. ἀδιαφόρως οὖν πάλιν τὰ ἀνταποδιδόμενα τὰ αὐτ' ἐστὶ τοῖς ἀπὸ τοῦ ὃ καὶ π̄ ἀρχομένοις· καὶ γὰρ οὕτω φαμέν, οἷός ἐστι Τρύφων, τοιοῦτός ἐστι καὶ Θέων. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ὅσος καὶ ὁπόσος καὶ τῶν ὁμοίων. Καὶ τὰ παρεπόμενα δὲ γένη καὶ ἔτι αἱ πτώσεις καὶ οἱ ἀριθμοὶ ἐμφανῶς ἐνδείκνυνται τὸ μὴ τὰ τοιαῦτα ἄρθρα εἶναι. συγκλίνεται γὰρ τοῖς πτωτικοῖς τὰ ἄρθρα· πῶς οὖν ὁποίου καὶ ὁποίῳ καὶ ὁποῖον; κατὰ γένος ἀμείβεται ὁ ἵππος καὶ ἡ ἵππος· πῶς οὖν ὁποῖος καὶ ὁποία; τοῖς μὲν γὰρ ὀνόμασιν ἔσθ' ὅτε καὶ τὸ γένος ἐπικοινωνεῖ, οὐ μὴν τοῖς ἄρθροις. φαμὲν οἱ ἵπποι καὶ τοὺς ἵππους, συμπληθύνοντες τῷ ὀνόματι τὸ ἄρθρον· πῶς οὖν φαμὲν ὁπόσοι, ὁπόσους; Ἀλλ' οὐδ' ἂν ἐν συνθέσει τις ὑπολάβοι τὸ ἄρθρον, καθὸ τὰ ἄρθρα οὐ συντίθεται. ἀλλ' εἰ καὶ συνετίθετο, ἐπὶ τῆς τοιαύτης συνθέσεως ἀδυνατεῖ, εἴ γε ἐδείξαμεν τὰ πύσματα μαχόμενα τῇ τῶν ἄρθρων ἐννοίᾳ. ἔστι καὶ τῆς φωνῆς παραστήσασθαι. τά τε γὰρ παροξυνόμενα ἢ προπερισπώμενα σύνθεσιν ἀναδεξάμενα προπαροξύνεται, κοῦρος ἄκουρος ἐπίκουρος, δόλος ἄδολος, πόνος ἄπονος, πλησίος παραπλήσιος· πῶς οὖν ὁποῖός φαμεν

καὶ ὁπόσος; ἀλλὰ κἀκ τοῦ γένους, εἴ γε τὰ
61 σύνθετα πρόδηλον ἔχει τὴν κοινότητα τῶν γε-
νῶν, ὅ περ οὐ παρέπεται τῷ ὁποῖος καὶ ὁπό-
σος. Ἔτι δὲ καὶ ἐπιῤῥήμασιν ἐνικὰ ἄῤῥθρα προ-
τίθεται, ἐμφανίζοντα γένος ἀρσενικόν, ποῦ 5
ὅπου, πῇ ὅπῃ· ἀλλ' ὡς γελοῖον τὰ τοιαῦτα
ἄῤῥθρα φάναι, εὐήθες κἀκεῖνα παραδέξασθαι
24 ἄῤῥθρα. Καθὼς οὖν πρόκειται, αἱ τοιαῦται
φωναὶ ἁπλαῖ λέξεις εἰσί, κατὰ τὰς ἀνταποδό-
σεις διάφορον πνεῦμα ἀπαιτοῦσαι. τὸ οἷος ἀπὸ 10
δασείας ἤρξατο, καὶ πάλιν τὸ τούτῳ σύζυγον
καὶ τὸ φωνῆεν παρῃτήσατο καὶ τὸ πνεῦμα τὸ
ἐν τῷ φωνήεντι, καὶ ἐντεῦθεν παρεδέξατο ψιλὸν
ἀντίστοιχον τὸ τ, τοῖος· καὶ ἔτι τὸ ποῖος, ἀρ-
ξάμενον πάλιν ἀπὸ ψιλοῦ ἀντιστοίχου, ἔσχε 15
τὸ σύζυγον ἀναγκαίως ἀπὸ φωνήεντος ἀρχό-
25 μενον ἐν πνεύματι τῷ τοῦ οἷος. Διὰ τοῦτο καὶ
ἡ Ἰωνικὴ μετάθεσις ἐξηλλάγη ἐπὶ τούτων τῶν
μορίων, ἐπεὶ τὰ ψιλὰ εἰς δασέα μετατιθέασιν
οἱ Ἴωνες καὶ τὰ δασέα εἰς ψιλά, ὡς ἐπὶ τοῦ 20
τάφος τεθνηπότες, ἐνταῦθα ἐνθαῦτα, καὶ ἐπὶ
τῶν συναλοιφῶν, ἑκατοῤῥᾶς πόλιν· οὐ μὴν ἐπὶ
τοῦ ποῖος καὶ τῶν ὁμοίων, εἴ γε κοῖός φασι καὶ
κόσος. οὐ γὰρ διὰ τοῦ φ ἐδύνατο τὰ τοιαῦτα
μόρια ἐκφέρεσθαι διὰ τὸ ἀνταποδιδόμενον φω- 25
62 νῆεν δασύ. ἀλλ' οὐδ' ἄλλο τι σύμφωνον ἐδύνατο
παραδέξασθαι ἢ μονον τὸ π· δέδειχται γὰρ ὅτι,
κἂν ἀνταπόδοσις ψιλὸν ἀπαιτῇ σύμφωνον,

ἀλλ' οὐδὲν ἐλείπετο ψιλὸν ἢ τὸ τ, ὅ περ κατετέταχτο εἰς τὸ τοῖος καὶ τόσος. . . . . .

26 Ἀλλ' οὐδὲ αἱ τῶν Ἑλλήνων συντάξεις ἀποδέξονται τὴν τῶν ἄρθρων παράθεσιν, εἴ γε ἐκ κοινῆς ἐννοίας, λέγω τῆς τῶν συνταγμάτων ἢ ποιημάτων, διάκρισιν πρώτην δηλοῦσι, πρῶτον Ἀλκαίου, Φοίνισσαι Εὐριπίδου· ἐν γνώσει γὰρ τὰ τοιαῦτα γενόμενα ἀκολούθως τὸ ἄρθρον προσλαμβάνει, αἱ Φοίνισσαι Εὐριπίδου περιέχουσι τὸν Θηβαϊκὸν πόλεμον, τὰ πρῶτον Ἀλκαίου ἀνέγνων.

Καὶ τοσαῦτα μὲν περὶ τῶν χωρὶς ἄρθρου οὐ δυναμένων ἐκφέρεσθαι καὶ ἔτι τῶν μὴ δυναμένων ἄρθραν προσλαβεῖν.

27 Ἐξῆς ῥητέον περὶ τῆς τῶν ἄρθρων συντάξεως πρὸς τὰς ἀντωνυμίας, ἃς τινες ἐξαιρέτως [συνάρθρους καὶ] ἀσυνάρθρους ἐκάλεσαν, ὡς οὐ δυναμένων τῶν προκατειλεγμένων ὀνομάτων ἀσυνάρθρων καλεῖσθαι. καὶ ἴσως ἂν εἴη μᾶλλον ἡ τοιαύτη θέσις, καθὸ τὰ μὴ προσλαβόντα οὐδ' ὅλως εὐπαράδεκτά εἰσιν εἰς τὴν πρόσθεσιν τῶν ἄρθρων, τὰ δὲ προσλαβόντα οὐδέποτε χωρὶς τούτων. καὶ γὰρ τὰ ἐν στερήσει λεγόμενα ἐν ἐπιβάλλοντος ἀτευξίᾳ νοεῖται. ἡνίκα γὰρ λέγομεν ἄτεχνον αὐλητήν, ἐπιβαλλούσης τῆς τέχνης ἀτευξίαν παρίσταμεν. καὶ οὕτω φαμὲν οὗτος ἄφιλος· δέον γὰρ φιλικὸν εἶναι. εἰ οὖν καὶ τοῖς ὀνόμασι συμπαρεπό-

μενα τὰ ἄρθρα ἦν, καὶ τοῖς ὀτευκτήσασι παρείπετο ἂν τὸ καλεῖσθαι ἀσυνάρθροις ὀνόμασιν. εἰ περ οὖν ἀναφορᾶς μὴ οὔσης παρέπεται ἡ τοιαύτη θέσις, ἐξ ἰδίας ἐννοίας ἀναγομένου τοῦ ὀνόματος, πῶς οὐ μᾶλλον τοῖς μηδ' ὅλως δυναμένοις μορίοις ἐν παραδοχῇ τοῦ ἄρθρου γενέσθαι ἡ τοιαύτη θέσις παρακολουθήσει; ὡς γε ἐκ τῶν εἰρημένων δεδείξεται.

Οὐχὶ οὖν ἄπορον ἔσται πῶς τὰ μὲν ὀνόματα μετὰ ἄρθρων ἐκφέρεται, αἱ δὲ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι ἀπεώσαντο τὴν τῶν ἄρθρων παράθεσιν, [ἢ] τάχα καὶ τῆς φωνῆς ἐπιζητούσης τὴν τῶν ἄρθρων σύνταξιν ἕνεκα τοῦ συγκεχυμένου κατὰ τὴν φωνὴν γένους; Ἔστιν οὖν πρὸς τὸ τοιοῦτον φάναι ὅτι, ὡς περ αὐτὰ τὰ ὀνόματα διά τινα παρεπόμενα οὐδ' ὅλως δύναται ἄρθρον παραδέξασθαι, ὡς ἐδείχθη, τὸν αὐτὸν ἄρα τρόπον καὶ τὰ μόρια τὰ ἀντὶ τούτων παραλαμβανόμενα ὑφέξει αἰτίαν τῆς ὑποστολῆς τῶν ἄρθρων.

64 προσώπων ἀοριστουμένων διακριτικά ἐστι τὰ μόρια, διὸ καὶ τὰ ἐξ αὐτῶν πρόσωπα νοούμενα ἐν ὁρισμῷ καταλαμβάνεται. καὶ σαφὲς ὅτι αἱ ἐξ αὐτῶν δείξεις πρῶται ἔφοδοί εἰσι τῶν ὑποκειμένων προσώπων, οὐ δεόμεναι τῆς τῶν ἄρθρων συντάξεως· οὐ γὰρ ἀναφέρεται τὰ πρόσωπα, ὑπ' ὄψιν δὲ δείκνυται. ἀναγκαίῳ ἄρα λόγῳ κεκώλυται τὰ τῆς συντάξεως . . . . .

τρόπον ἔχοντα τῶν ἀντεστραμμένων. ὃν γὰρ τρόπον καὶ τῶν στοιχείων ἔστιν ἐπινοῆσαι τὰ ὑποτακτικὰ οὐ ποτε προτακτικὰ γινόμενα τῶν οἷς ὑπετάγη, τὸν αὐτὸν τρόπον στοιχείου λόγον ἐπέχοντα τὰ μέρη τοῦ λόγου τὸ τοιοῦτον ἐπιδείκνυται. προτακτικὴ γάρ ἐστιν ἀντωνυμία ἡ πρώτην θέσιν ἐπαγγελλομένη τῶν προσώπων, ἡ δὲ τῶν ἄρθρων παράθεσις ἐν δευτέρᾳ τάξει παραλαμβάνεται, ὑποταγέντων ταῖς ἀντωνυμίαις, ἐγὼ ὁ λαλήσας· τὴν γὰρ πρώτην θέσιν τοῦ ἐγώ ἀνεπόλησε τὸ ἄρθρον.

Εἰκός τινα φήσειν, εἰ πρὸ τῶν δεικτικῶν μορίων τὰ ἄρθρα οὐ τίθεται, ἐχρῆν αὐτὰ μόνον ταῖς δεικτικαῖς ἀντωνυμίαις μὴ συνεῖναι, ταῖς γε μὴν κατὰ τὸ τρίτον πρόσωπον, πάλιν ὑποστελλομένων τῶν δεικτικῶν, ἀκωλύτως προσαρτᾶσθαι. Ἀλλ' οὐδ' αὗται δέονται τοῦ ἄρθρου· δι' αὐτῶν γάρ εἰσιν ἀναφορικαί, ὥς γε καὶ ἐπιδείξομεν ἀμοιβὴν γινομένην αὐτῶν τε καὶ τῶν ἄρθρων.

28 Ἀλλὰ πῶς πάλιν ἡ αὐτὸς ἄρθρον προσέ-65 λαβεν, εἴ περ αἱ ἀναφορικαὶ οὐ προσλαμβάνουσι; Καὶ πρὸς τοῦτο δὲ ἔστι φάναι ὡς καὶ ἐν ἄλλοις μορίοις τὸ τοιοῦτον ἔστιν εὑρέσθαι, εἴ γε ἔγκειται ἐν τῷ Πριαμίδης ὁ υἱός, καὶ οὐκ ἀναγκαίως πρόσκειται ἐν τῷ

Πριαμίδην νόθον υἱόν.

ἀλλὰ καὶ ἐν τοῖς συγκριτικοῖς ἔγκειται τὸ μᾶλ-

λον, καὶ πολλάκις συμπαραλαμβάνεται ἡ τοῦ μᾶλλον σύνταξις,

ῥητέροι γὰρ μᾶλλον Ἀχαιοῖσι δὴ ἔσεσθε.

τὸν αὐτὸν δὲ τρόπον ἔγκειται μὲν ἐν τῇ αὐτός ἡ ἀναφορά· ὁπηνίκα δ' ἑτέρα προσγίνεται, τὸ ἐγκείμενον τῆς ἀναφορᾶς ἐν τῇ αὐτός συμπαραλαμβάνεται διὰ τοῦ ὁ ἄρθρου, δηλοῦντος καὶ αὐτοῦ ἀναφοράν, καὶ οὕτω δὶς ἀναφέρεται, ὥς δὶς ἐπιτέταται τὸ

ῥητέροι γὰρ μᾶλλον Ἀχαιοῖσι δὴ ἔσεσθε.

Προφανὲς δ' ὅτι τῇ συνηθεστέρᾳ ἀντωνυμίᾳ προσεχώρησε τὸ τῆς συντάξεως. ἥ τε γὰρ οἵ καὶ ἡ ἕ καὶ ἡ μίν καὶ αἱ σύζυγοι οὐδὲ ῥηταὶ ὅ τι μὴ παρὰ ποιηταῖς. ἀλλὰ καὶ αἱ σύζυγοι ταῖς κατὰ τὸ πρῶτον καὶ δεύτερον, ὧν ἡ σύνταξις ἀπαράδεκτος.

Μηδὲ ἐκεῖνό γε παραλελείφθω, ὡς ἐξαιρέτως ἡ Ἀττικὴ χρῆσις οὐ δεόντως ἐπὶ μόνης αἰτιατικῆς τὸ ἄρθρον παρελάμβανεν, ὡς ἐν τῷ
66 τὸν ἐμέ, τὸν σέ. αὐτίκα γοῦν καὶ παρὰ Καλλιμάχῳ

τὸν σὲ Κροτωπιάδην.

χωρὶς εἰ μὴ τὸ ἄρθρον ἐξοχὴν παρίστησιν ἐν τῷ τὸν σὲ Κροτωπιάδην, εἴ γε πάλιν ἡ τοιαύτη σύνταξις ἐπίφορος πρὸς τὴν τοῦ ἄρθρου

παράθεσιν. προείρηται δὲ ἡμῖν ὡς καὶ ἐξοχῆς ἕνεκα τὰ ἄρθρα προσλαμβάνεται.

29 Ἀλλὰ καὶ τὰς καλουμένας συνάρθρους ἀντωνυμίας, ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ δεικτικῶς παραλαμβανομένας, οἰήσεταί τις παραδέχεσθαι τὰ ἄρθρα ἐν τῷ ὁ ἐμός, ὁ σός ἢ ὁ ἡμέτερος. ἢν δὲ ἡ σύνταξις οὐ τοῦ ἀντωνυμικοῦ προσώπου, λέγω τοῦ κατὰ τὸν κτήτορα, τοῦ δὲ ὑπακουομένου κατὰ τὸ κτῆμα,, λέγω τοῦ δοῦλος ἢ οἶκος ἤ τινος τῶν τοιούτων. Ἅβρων μέντοι ἐν τῷ περὶ ἀντωνυμίας οὐκ εἶναί φησι τὰ ἄρθρα τῶν ὑπακουομένων, λόγῳ τοιούτῳ. εἴ περ τὰ ἄρθρα ἐπὶ τὰ ὑπακουόμενα φέρεται, πάντως ἂν τὴν αὐτὴν καταλληλότητα ἐφύλασσον ὑπερβιβασθέντα πρὸ τῶν ὀνομάτων· οὐ ταὐτὸ δέ ἐστι τὸ ὁ ἐμὸς πατὴρ τῷ ἐμὸς ὁ πατήρ· καὶ εἰ ἐν τοῖς τοιούτοις ἀνεπληρώθη τὸ ἄρθρον τοῦ ὀνόματος ἐν τῷ ὁ πατήρ, πῶς ἔτι τὸ ὁ ἐμός ἄρθρον προσλαμβάνει, ὁ πατὴρ ὁ ἐμὸς φιλοσοφεῖ, εἰ μὴ ἡ ἀντωνυμία ἄρθρου
87 εἶχετο, καὶ ἕνεκα τῆς τοιαύτης συντάξεως ἔδοξε καὶ τῇ τοιαύτῃ ἀντωνυμίᾳ ἴδιον ἄρθρον προσνέμειν καὶ τῷ ὑπακουομένῳ κτήματι; Ἔστι δὲ παραπέμπεσθαι τὴν τοιαύτην πιθανότητα. πρῶτον εἰ ἑκατέρῳ μορίῳ πρόσεστιν ἄρθρον, τί οὐχ ἥρξατο ἀπὸ τοῦ ὁ ἐμός καὶ ἐπήνεγκε τὸ ὁ πατήρ μετὰ τοῦ ἄρθρου; καὶ φαίνεται ὅτι ἐν ἴσῳ τὰ τοῦ λόγου ἐγένετο· ἐπὶ μὲν γὰρ τῆς

προτέρας δύο ἦν τὰ ἄρθρα, ἐπὶ δὲ τῆς δευτέρας ἀδύνατον ἦν δύο ἄρθρα παραθέσθαι. δεύτερον οὐ παρὰ τὰς μεταθέσεις τῶν ἄρθρων καὶ τὰς ἐξ αὐτῶν γινομένας διαφορὰς τῆς φράσεως ἀποστήσεται τοῦ μὴ συμφέρεσθαι τοῖς ὀνόμασι τὰ ἄρθρα, εἴ γε διαφέρει τὸ οἱ νῦν ἄνθρωποι ἀγαθοί εἰσι τοῦ νῦν οἱ ἄνθρωποι ἀγαθοί εἰσι, καὶ οὐκ ἔστιν ὅς τις τολμήσει φάναι ὅτι οὐ τὸ οἱ τοῦ ἄνθρωποί ἐστιν ἄρθρον. οὐκ ἄρα παρὰ τὴν ἐξαλλαγὴν τῆς φράσεως κατὰ τὴν μεταθεσιν οὐχὶ τοῦ κτήματός ἐστι τὸ ἄρθρον ἐν τῷ ὁ ἐμὸς πατήρ καὶ ἐν τῷ ἐμὸς ὁ πατήρ. τὴν δὲ τούτων διαφορὰν κατὰ τὸ δέον διακριβώσομεν. τὸ μέντοι δύο ἄρθρα κατὰ μιᾶς πτώσεως φέρεσθαι οὐκ ἔστιν ἀσύστατον. ἔστι γοῦν φάναι ὁ πατὴρ ὁ ἐκείνου, καὶ προφανὲς ὅτι τῷ πατήρ τὰ
68 δύο ἄρθρα συντείνει, ἐπεὶ πῶς ἡ ἀπαράδεκτος ἀντωνυμία τῶν ἄρθρων ἐν γενικῇ πτώσει εὐθείας ἄρθρον παραδέχεται; ἀλλὰ καὶ ἔτι ἐπ' ὀνομάτων, ὁ δοῦλος ὁ τοῦ Ἀριστάρχου πρὸς ἐμὲ ἦλθεν· ἰδοὺ γὰρ καὶ ἡ γενικὴ τὸ ἴδιον ἀπέχει ἄρθρον, καὶ τὰ λειπόμενα δύο ἄρθρα εἰς μίαν τὴν εὐθεῖαν ἀναφέρεται. οὐκ ἄρα ἐν τῷ ὁ πατὴρ ὁ ἐμός κατηνάγκασται τὸ ἕτερον τῶν ἄρθρων ἐπὶ τὴν ἀντωνυμίαν φέρεσθαι.

Ἡ οὖν ἐμοῦ δὶς οὖσα γενικὴ τὸ μὲν τοῦ κτήτορος ἔσχε τὸ πρόσωπον ἀντωνυμικόν, ἐξ οὗ καὶ τὴν ὀνομασίαν εἶχε, τὸ ἀντωνυμία καλεῖσθαι, ὅ περ ὁμολογεῖ τὴν δεῖξιν τοῦ ὡρισμένου προσώπου καὶ ἔτι τὴν μετάβασιν τὴν ἐπὶ τὸ δεύτερον καὶ τρίτον· τὸ δὲ ἕτερον τοῦ ὑπακουομένου κτήματος, ὃ κλίσιν ποιεῖται τὴν εἰς τὰς πτώσεις μετάθεσίν τε τὴν εἰς τὰ γένη ἀριθμούς τε τοὺς κατ' ἀκολουθίαν τοῖς ὀνόμασιν. τὸ γὰρ ἀντωνυμικὸν πρόσωπον ἐν γενικῇ μόνον νοούμενον ἄκλιτόν ἐστιν εἰς τὰς πτώσεις· ἡ γὰρ πτῶσις ἡ γενικὴ κρατεῖ τὴν κτητικὴν ἔννοιαν. διὰ τοῦτο καὶ πᾶσα κτητικὴ ἀντωνυμία μετὰ τοῦ κτήματος εἰς γενικὴν ἀναλύεται. καὶ φαίνεται ὅτι αἱ μὲν πρωτότυποι οὐ κλίνονται εἰς τὰς πτώσεις, αἱ δὲ κτητικαὶ οὐκ εἰς ἄλλο τι ἢ εἰς πτώσεις, εἰς γένη καὶ εἰς ἀριθμούς. καὶ ἕνεκα τούτων τοῖς δύο προσώποις ἴδια μόρια παρίσταται, τῷ μὲν ὀνοματικῷ τὸ ἄρθρον, τῷ δὲ ἀντωνυμικῷ ἡ συνήθως ἐπιτασσομένη
69 ἐπιταγματικὴ ἀντωνυμία κατὰ μίαν πτῶσιν τὴν γενικήν, ἣν καί φαμεν μόνην ἐγκεῖσθαι ἐν τῇ κτητικῇ ἀντωνυμίᾳ,

ἀλλ' ἐμὸν αὐτοῦ χρεῖος, ὅ μοι κακὸν ἔμπεσεν οἴκῳ·
αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο·
ἢ ἐὸν αὐτοῦ χρεῖος.

ἐν δὲ ἀπάσαις πτώσεσι τὸ ἄρθρον, καθ' ὁ ἡ τοῦ κτήματος πτῶσις, κλίνεται, ὁ ἐμός, τοῦ ἐμοῦ, τῷ ἐμῷ. συμμεταπίπτει τε καὶ ἐπὶ τοῦ γένους, ἡ ἐμή, τὸ ἐμόν· προφανὲς γὰρ ὅτι ἓν καὶ τὸ αὐτὸ πρόσωπον τοῦ κτήτορος, διάφορα δὲ τὰ κτήματα ἐν γένει. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἀριθμοῦ· ἔστι γὰρ πάλιν εἷς μὲν ὁ κτήτωρ, πλείονα δὲ τὰ κτήματα κατὰ πᾶν γένος, οἱ ἐμοί, αἱ ἐμαί, τὰ ἐμά. κἂν ἀμειφθῇ τὰ τοῦ ἀριθμοῦ, καὶ τὰ τοῦ ἄρθρου συναμείβεται. φέρε δὲ πλείονας ἑνὸς ἀγροῦ ἐπικρατεῖν· φαίης ἂν ὁ ἡμέτερος ἀγρὸς σκάπτεται, τοῦ ἄρθρου ἑνουμένου πρὸς τὸ ὑποκείμενον κῆπμα. καθὼς οὖν πρόκειται, ἐν ταῖς τοιαύταις συντάξεσιν οὐδ' οὕτως ἐπὶ τὴν δεῖξιν φέρεται τῶν ἀντωνυμιῶν τὰ συναρτώμενα ἄρθρα. Καὶ αὕτη δέ ἐστιν ἀπόδειξις τοῦ τὸ ὦ μὴ εἶναι ἄρθρον, καθότι προτίθεται ἔσθ' ὅτε δεικτικῶς τῆς οὗτος.

Καὶ τοσαῦτα περί τε τῶν μοναδικῶς προσλαμβανόντων τὰ ἄρθρα καὶ ἔτι τῶν ἀπροσλήπτων.

31 Ἡ γε μὴν ὑπόλοιπος σύνταξις κατὰ μίαν προφορὰν πτωτικοῦ πρὸς τὸ δέον τοῦ λόγου τὰ ἄρθρα προσλήψεται, ἵππος τρέχει, ἢ ἐπὶ προεγνωσμένῳ τῷ ἵππῳ ὁ ἵππος τρέχει· πλοῖον κατέπλευσε, τὸ πλοῖον κατέπλευσεν. ἔνθεν φαμὲν λείπειν τὸ ἄρθρον

ἐν τῷ

ἀρνειὸν δ' ἐμοὶ οἴῳ εὐκνήμιδες ἑταῖροι,

καθὸ περὶ ἐκείνου διαλέγεται τοῦ προκατειλεγμένου ἐν τῷ

ὕστατος ἀρνειὸς μήλων ἔστειχε θύραζε·

τοῦ κατὰ νῶτα λαβών.

εἰ γὰρ μὴ οὕτως εἴη, οὐ λείπει τὸ ἄρθρον. πληρέστερον γὰρ ἐκεῖ προκείσεται,

τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα·

προκατείλεκτο γὰρ καθ' ὃν καιρὸν ἐνεβιβάζετο ὑπὸ τῆς Κίρκης.

Διήκει ὁ λόγος ἐπὶ πάσης τῆς τῶν ῥημάτων συντάξεως, ὑποστελλομένων τῶν ἐσομένην ὕπαρξιν δηλούντων. ἔστω δ' ὑποδείγματα, Διονύσιος ὁ γνώριμός μου θέλει φιλολογεῖν, οὗτος ὁ ἄνθρωπος θέλει ἀναγινώσκειν· καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος· εἰ μέντοι ἐπιφέροιτο τὸ γενέσθαι, τὸ καλεῖσθαι, τὰ τούτοις σύζυγα, ἀποστήσεται τὸ ἄρθρον, Διονύσιος θέλει μοι γνώριμος γενέσθαι, Θέωνι γραμματικὸς θέλει καλεῖσθαι, πάνυ εὐλόγως· ἐσομένην γὰρ ποιότητα τὸ ῥῆμα ὑπαγορεύει, τὸ δὲ ἄρθρον τὴν γενομένην οἶδεν. εἰ γοῦν προσθείη τις καὶ τὸ ἄρθρον, ἕτερον προσθήσει ἐπιθετικόν, ἐφ' ὃ ἐπενεχθήσεται τὸ ῥῆμα, ἐπεὶ τὸ ἄρθρον ἀπηνέγκατο τὸ ἕτερον, ὡς ἂν ἐν γνώσει προϋφεστῶσι, Διονύσιος ὁ γνώριμός μου θέλει γενέσθαι

σθαι φιλόσοφος· προφανὲς γὰρ πάλιν ὅτι, εἰ τὸ ἄρθρον τις ὑφέλοι, ἀναταλλήλον τὸ τοῦ λόγου γένοιτο ἄν, τοῦ ῥήματος οὐ δυναμένου εἰς τὰ δύο ἐπίθετα ἐγχωρῆσαι. καὶ κατ' ἄλλας δὲ συντάξεις δύο ὀνομάτων εἰς ἓν πρόσωπον συντεινόντων διαφορά τίς ἐστι τῶν προκατειλεγμένων ῥημάτων, ἐξ ὧν καὶ ὁ Τρύφων ἤρξατο τὴν ἐν τοῖς ἄρθροις σύνταξιν παραδιδόναι, τῶν προκατειλεγμένων τρόπων οὐδὲ ἔννοιαν παραθέμενος.

2 Τὰ δὲ ἐπιθετικὰ ἐπὰν συντάσσηται κυρίοις ὀνόμασι, πάντως σὺν ἄρθροις λέγεται, εἰ μὴ τὰ ὑπαρκτικὰ τῶν ῥημάτων ἐπιφέροιτο, ὁ γραμματικὸς Τρύφων ἀναγινώσκει, ὁ φιλόσοφος Τρύφων περιπατεῖ. καὶ οὐκ ἄλλως ἀποστήσεται τὸ ἄρθρον, εἰ μὴ ὑπαρκτικὴ μετοχὴ ἐπενεχθείη, γραμματικὸς ὢν Τρύφων ἀναγινώσκει, φιλόσοφος ὢν Δίων διαλέγεται, πάνυ εὐλόγως διὰ τὴν νῦν ἐμφανιζομένην ποιότητα διὰ τῆς ὤν. οὐδὲ γὰρ ἐν ῥήματι τὸ τοιοῦτον ἐδύνατο παραλιφθῆναι ἕνεκα τοῦ ἐπιφερομένου ῥήματος, ἐπεὶ καὶ δύο ῥήματα οὐ δύναται μίαν σύνταξιν ἐπιδέχεσθαι δίχα συμπλοκῆς. καὶ σαφὲς ἐκ τοῦ ὑποδείγματος, τοῦ μὲν προειρημένου ὁ φιλόσοφος Δίων διαλέγεται, τοῦ δὲ δευτέρου φιλόσοφος ὢν Δίων διαλέγεται, τοῦ δὲ τρίτου φιλόσοφός ἐστι Δίων καὶ διαλέγεται.

οὐ γὰρ συστήσεται δίχα τοῦ καί συνδέσμου, φιλόσοφός ἐστι Δίων διαλέγεται. εἴρηται δὲ ἀκριβέστερον ἡ τοιαύτη σύνταξις ἐν τῷ περὶ μετοχῶν, ἐν ᾧ καὶ ἐπεδείξαμεν ὡς τὸ

αὐτὰρ ὁ ΒΗΡΗΣΟΝ τε καὶ Ἄντιφον ἐξεναρίξων,

εἰ μέν ἐστιν ὄνομα τὸ ΒΗΡΗΣΟΝ, ἐπὶ ῥῆμα πάντως τὸ συγκλεῖον τὴν διάνοιαν ἀναχθήσεται τὸ τέλος, λέγω τὸ ἐξεναρίξεν· εἰ δὲ ἔγκειται τὸ βῆ ῥῆμα, ἀνέφικτον μὲν τὸ τοῦ ῥήματος, κατάλληλον δὲ τὸ τῆς μετοχῆς, λέγω τὸ ἐξεναρίξων.

Τῇ προκειμένῃ συντάξει ἀδιαφόρως τὰ ἄρθρα προστεθήσεται, εἰ ὡς εἴπομεν τὰ ἐπιφερόμενα ῥήματα πρώτης κατηγορίᾳ ποιότητος. πάλιν δὲ ἔστω ὑποδείγματα τοῦ μὲν προτέρου ὁ γραμματικὸς Τρύφων ἀείδει· ἦν γὰρ ἀσύνετον φάναι ὁ Τρύφων γραμματικὸς ἀείδει· τοῦ δὲ δευτέρου ὁ γραμματικὸς Τρύφων καλεῖται, ὁ γραμματικὸς Τρύφων παρεγένετο, ὁ Τρύφων γραμματικὸς παρεγένετο. καὶ σαφὲς ὅτι τὰ ῥήματα κατηγοροῦντα τοῦ ἐπιθετικοῦ εὐλόγως τὴν τοῦ ἄρθρου σύνταξιν παρείληπται. ἔνθεν δὲ τὰ τῆς ἀναστροφῆς δῆλα,

73

οὕνεκά τον Χρύσην ἠτίμασεν ἀρητῆρα·

εἰ γὰρ ἀφέλοι τις τὸ ἠτίμασεν, ἀντιθείη δὲ τὸ ὠνόμασε, διάφορον πάλιν ἕξει τὴν σύνταξιν,

οὗτος τὸν Χρύσιν ὠνόμασεν ἀρητῆρα. ἡ αὐτὴ σύνταξις καὶ ἐν προσηγορικοῖς καὶ ἐν ἐπιθετικοῖς, ὁ λευκὸς ἵππος τρέχει, ὁ ἵππος λευκός ἐστιν. εἰ μέντοι εἴη δύο ἐπιθετικά, δύο καὶ τὰ ἄρθρα προσγίνεται, πάλιν τῶν προειρημένων ῥημάτων ὑποστελλομένων, ὁ σεμνός, ὁ καλὸς ὑβρίζεται· ὁ φρόνιμος, ὁ ἀγαθὸς ἐξέστη τοῦ καθήκοντος. προῦπτον τὸ ἀκαταλλήλον, εἰ ὑφέλοι τις τὸ ἕτερον τῶν ἄρθρων. καὶ δῆλόν ἐστιν ὡς οὐ τὸ ἕτερον θατέρῳ ἐκχωρεῖ τοῦ ἄρθρου, καθὸ ἀπὸ μιᾶς ὕλης τῶν ὀνομάτων ἄγεται. τοῦ δὲ ἑτέρου ὁ σεμνὸς σοφός ἐστιν, ὁ σοφὸς φρόνιμός ἐστιν, ὁ σώφρων ἀγαθός ἐστιν, ὁ ἀγαθὸς σώφρων ἐστίν· καὶ ἐπὶ τῶν ἄλλων ῥημάτων ὁ αὐτὸς λόγος.

33 Συμφέρεται τοῖς ὀνόμασι καὶ ἡ τῶν μετοχῶν σύνταξις, καθ' ὃν ἐπεδείξαμεν λόγον ἐν τῷ περὶ μετοχῶν. μετὰ μὲν οὖν κυρίων, ἡνίκα οὕτω φαμέν, ὁ Πτολεμαῖος γυμνασιαρχήσας ἐτιμήθη, ὁ Διονύσιος τυραννήσας ἐμέμφθη, ὅ περ καὶ χωρὶς ἄρθρου τὸν αὐτὸν λόγον συγκλείει. καὶ ἡ μὲν τοιαύτη σύνταξις χρονικῶς νοεῖται, μετὰ τὸ γυμνασιαρχῆσαι ἐτιμήθη, μετὰ τὸ τυραννῆσαι ἐμέμφθη. εἰ δὲ αἱ μετοχαὶ προλάβοιεν τὰ ἄρθρα, πλειόνων Πτολεμαίων ἐμφάνισις νοεῖται, ὥστε οὐκ ἀπιθάνως ἔστι φάναι ὡς τὰ ἐνικὰ

ἄρθρα παρεμφαίνει καὶ πλῆθος. εἰ γὰρ τῇδέ τις ἀποφαίνοιτο, ὁ γυμνασιαρχήσας Πτολεμαῖος ἐτιμήθη, οὐχ ἕνα δηλώσει Πτολεμαῖον, ἀλλὰ πλείονας, ἐξ ὧν ὁ εἷς τιμῆς
34 μετέλαβεν. Ὅτι γὰρ τὸ ἄρθρον αἴτιόν ἐστι τῆς παρεμφάσεως τοῦ πλήθους, συμφανὲς ἐκ τοῦ· ἀποβαλλομένου ἄρθρου· [ὁ γυμνασιαρχήσας Πτολεμαῖος ἐτιμήθη] καὶ πάλιν τοῦ ἑνὸς νοουμένου Πτολεμαίου, γυμνασιαρχήσας Πτολεμαῖος ἐτιμήθη. ἔστι καὶ ἐν προσηγορικοῖς ἡ τοιαύτη σύνταξις. Ἐφ' οὗ καὶ τρίτος λόγος ἀνακύπτει. καὶ ἔστω ὁ μὲν πρῶτος τοιοῦτος, χρονικὴν διαφορὰν παρεμφαίνων, ὁ παῖς δειπνήσας κοιμάσθω· ὁ δὲ δεύτερος, ἡνίκα πλῆθος παρεμφαίνεται, ὁ δειπνήσας παῖς κοιμάσθω, ἐφ' οὗ ἀοριστώδης ἡ σύνταξις γίνεται τοῦ ἄρθρου, ἔνθεν καὶ οἱ ἀπὸ τῆς στοᾶς τὰ τοιαῦτα μόρια ἀοριστώδη ἐκάλεσαν· τρίτος δὲ ὃς τὴν αὐτὴν μὲν ἔχει σύνταξιν, οὐ μὴν ἀοριστωδῶς πάντως νοεῖται, ἀναφορικῶς δέ. φέρε γάρ τινα δειπνῆσαι τῶν παίδων καὶ κατὰ τούτου γίνεσθαι τὰ τῆς προστάξεως· καὶ πάλιν τὰ τοῦ λόγου τῇδε καταστήσεται, ὁ δειπνήσας παῖς κοιμάσθω, καθὼς εἰ ἐν παισὶν ἀτακτήσειε παῖς, ἐφ' οὗ ἂν φαίη ὁ διδάσκαλος ὁ ἀτακτήσας παῖς τυπτέσθω. οὐκ ἔστιν ἡ τοιαύτη σύνταξις ἐντριβεστέρα χωρὶς ἄρθρων λεγομένη, καθάπερ

ἢ ἐπὶ τῶν κυρίων, εἴ γε τὰ κύρια διὰ τὴν ἐν αὐτοῖς ἰδιότητα οὐχ οὕτως προσδέεται τοῦ ἄρθρου, καθάπερ τὰ κοινὴν ἔννοιαν ἔχοντα. δυνάμει γὰρ συστέλλεται ἐκ τῆς πολλῆς ποιότητος τῇ παραθέσει τοῦ ἄρθρου, εἴ γε ἀοριστῶδες μὲν τὸ παῖς δειπνήσας ἐκοιμήθη, οὐ μὴν τὸ ὁ παῖς δειπνήσας ἐκοιμήθη. εὐπαραδεκτον δὲ τὸ ὁ Πτολεμαῖος δειπνήσας ἐκοιμήθη, οὐχ οὕτως ἀπαιτοῦν τὸ ἄρθρον. οἷον τέ ἐστι τοῖς πραγματικοῖς ὀνόμασι προσκείμενον ἄρθρον καὶ ταῖς συνταγμέναις μετοχαῖς, ὁ παῖς ὁ δειπνήσας κοιμᾶται, καθότι καὶ ἐπὶ τῶν προσηγορικῶν καὶ ἐπιθετικῶν, ὁ ἵππος ὁ λευκὸς τρέχει· ὃ περ ταὐτὸν συνάγει τοῖς ἀπὸ τοῦ ἐπιθετικοῦ ἀρχομένοις σὺν τῷ ἄρθρῳ καὶ τοῖς ἀπὸ μετοχῆς, ὁ λευκὸς ἵππος τρέχει, ὁ δειπνήσας παῖς κοιμᾶται. ἃ δὴ καὶ μᾶλλον καταπλοκότερά ἐστι τῶν ὑπερκειμένων.

35 [76] Ἔτι καὶκεῖνα ῥητέον, ὡς ἡ προσταχτικὴ ἐκφορὰ τῶν ῥημάτων αἰτία γίνεται τοῦ ἀοριστωδῶς νοεῖσθαι τὴν σύνταξιν τοῦ ἄρθρου καὶ τῆς μετοχῆς, ὁ τυραννοκτονήσας τιμάσθω. ἡ γὰρ ὁριστικὴ ἔγκλισις ἐπὶ ἐνεστῶσι καὶ παρωχημένοις ἀναφορικωτέραν τὴν σύνταξιν ποιεῖται, ὁ τυραννοκτονήσας τιμᾶται, ὁ τυραννοκτονήσας ἐτιμήθη. πάλιν γὰρ ἡ τοῦ μέλλοντος ἀοριστωδῶς νοεῖται καθ' ἣν προεκ-

τεθείμεθα ἀπόρησιν, ὁ τυραννοκτονήσας τιμηθήσεται, πάνυ εὐλόγως, εἴ γε τὰ γινόμενα καὶ γεγονότα εὔδηλα, τὰ δὲ ἐσόμενα ἀδηλότερα καὶ ἐντεῦθεν ἀοριστοῦται τὰ τῆς συντάξεως. Καὶ προφανῶς ἐκ τοῦ τοιούτου δείκνυται ὡς ἅπαντα τὰ προσταχτικὰ ἐγκειμένην ἔχει τὴν τοῦ μέλλοντος διάθεσιν, προσταττόμενα ἢ εἰς παρατατικὴν διάθεσιν ἢ εἰς ὑπερσυντελικήν. σχεδὸν γὰρ ἐν ἴσῳ ἐστὶ τὸ ὁ τυραννοκτονήσας τιμάσθω τῷ τιμηθήσεται κατὰ τὴν τοῦ χρόνου ἔννοιαν, τῇ ἐγκλίσει διπλαχός, καθὸ τὸ μὲν προσταχτικόν, τὸ δὲ ὁριστικόν. Πῶς οὖν οὐ γελοῖοί εἰσιν οἱ [μὴ] ὑπολαβόντες ῥήματα προσταχτικὰ μέλλοντος χρόνου, ὅπου γε πάντα συνῳθεῖται εἰς τὴν τοῦ μέλλοντος ἔννοιαν; ἐπὶ γὰρ μὴ γινομένοις ἢ μὴ γεγονόσιν ἡ πρόσταξις· τὰ δὲ μὴ γινόμενα ἢ μὴ γεγονότα, ἐπιτηδειότητα δὲ ἔχοντα εἰς τὸ ἔσεσθαι, μέλλοντός ἐστιν, εἴ γε καὶ τῶν προσταχθέντων τὰ μὴ γινόμενα λόγον ἔχει μετὰ ἀποφάσεως καὶ τῆς τοῦ μέλλοντος ἐννοίας, οὐ δυνήσομαι, οὐ ποιήσω. κἂν γὰρ οὕτω φαμέν, οὐ δύναμαι βαστάσαι, ἐν ἴσῳ ἐστὶ τῷ οὐ δυνήσομαι, εἰς τὸ γίνεσθαι· οὖν ἢ γενέσθαι ἡ πρόσταξις γίνεται, ἀποφασκομένη ἀπὸ τῆς τοῦ μέλλοντος ἐννοίας, εἰς μὲν παράτασιν, σκαπτέτω τὰς ἀμπέλους, εἰς δὲ

συντελείωσιν, σκαψάτω τὰς ἀμπέλους. Τί δὲ τὸ παράξαν τοὺς παραδεξαμένους μέλλοντος προστακτικά; Μόνον τὸ γραψέτω καὶ τὸ οἶσε θέσιον γρηύ, ἃ περ ἀπολύεται ἐντελέστερον ἐν τῷ περὶ προστακτικῶν, ἀπαιτοῦντος δὲ καὶ νῦν τοῦ λόγου ὀλίγα παραθησόμεθα, ὅτι ποιητικώτερον μὲν τὸ οἶσε κατ' ἐναλλαγὴν εἴρηται φωνῆς τῆς φέρε, τῆς γραψέτω καὶ τὰ ὅμοια, οὐ κατὰ διάφορον μὲν χρόνον, κατὰ δὲ ἐκλογὴν ὀνόματος, ὁπότερον εἴη κατορθωμένον, καθά περ ἤδη προεμελετήθη τοιαύτη ζήτησις ἐν τῇ ὁριστικῇ ἐγκλίσει, ἔγραψας ἢ ἔγραψες, οὐ διαφορᾶς οὔσης χρονικῆς, αὐτὸ δὲ μόνον γραφῆς, δυναμένης οὐκ ἀπιθάνως παραλαμβάνεσθαι, ὡς ἐπιδείκνυμεν ἐν τῷ περὶ ῥημάτων.

78 Αἱ προκείμεναι οὖν συντάξεις, ὑποστελλομένων τῶν κυρίων ὀνομάτων, ἀδιαφόρους ἔχουσι τὰς ἀναστροφὰς χωρὶς ἄρθρου λεγομένας, ἄνθρωπος δραμὼν ἐνίκησε, δραμὼν ἄνθρωπος ἐνίκησεν· ἄνθρωπον ἀγαθὸν ὕβρισεν, ἀγαθὸν ἄνθρωπον ὕβρισεν. οὐκ ἐπιζητήσει οὖν τὸ ἄνδρα πολύτροπον πάντως ἄρθρον, χωρὶς εἰ μὴ τὸν κατ' ἔξοχὴν ἄνδρα θέλοιμεν διαστεῖλαι, καθὼς ἐδείξαμεν καὶ ταῖς ἀρχαῖς ὡς καὶ ἐξοχῆς παραστατικὰ τὰ ἄρθρα, ὅτε οὕτω φαμέν, οὗτός ἐστιν ὁ ἀνήρ, οὗτός ἐστιν ὁ γραμματικός, καθότι ἔστιν ἐπινοῆσαι καὶ ταῖς

κατὰ γενικὴν κτητικαῖς συντάξεσι. μοναδικαὶ γὰρ οὖσαι αἱ κτήσεις τὸ ἄρθρον ἀπαιτοῦσιν, οὐ πῆδε δὲ ἔχουσαι καὶ χωρὶς ἄρθρων λέγονται. τοῦ μὲν προτέρου ἡ ψυχή σου ἀγαθή ἐστιν, ἡ μοῖρα Νέστορος πολυχρόνιος ἦν· τοῦ δὲ ἑτέρου θεράπαινά σου πρὸς ἐμὲ ἦλθε, γνώριμος Ἀριστάρχου διελέξατό μοι. ταῦτα γὰρ εἰ ἐθέλοι τις μοναδικῶς ἐκθέσθαι, προσθήσει ἄρθρον, ἡ θεράπαινά σου, ὁ γνώριμος Ἀριστάρχου. καὶ πολλῶν ὑπουσῶν νεῶν φαίη τις ἂν ναῦς σου κατέπλευσε, ναῦς σου ἔστηκεν ἐν τῷ λιμένι· μοναδικῆς δὲ πάλιν τῆς κτήσεως νοουμένης προσθείη τις ἂν τὸ ἄρθρον, καθὼς κἀκεῖ νοητέον. λείπειν νηῦς δέ μοι ἥδ' ἔστηκε, καθὼς ἐν ἑτέροις ἐδείξαμεν. νῦν δ' ὧδε, ξὺν νηὶ κατέπλυθον· ὑπαγορεύει γὰρ ξὺν μιᾷ νηὶ ξυμφορὰς κἀκ τοῦ ὧδε, σημαίνοντος τὸ οὕτως ὡς ὁρᾷς, οὐχ ὡς ἐπέβαλλε βασιλεῖ. Προδήλως οὖν κἀκεῖνο λείπει ἄρθρῳ [μῆνιν ἄειδε θεά,] τὴν Ἀχιλλέως οὐλομένην μῆνιν· ἓν γὰρ τὸ πάθος, ὡς μοῖρα, ὡς ψυχή.

37 Ἀκολούθως χωρητέον καὶ ἐπὶ τὰς πυσματικὰς συντάξεις. Τὸ δὲ τίς συντάσσεται κυρίοις ὀνόμασι μετὰ ῥήματος τοῦ ὀνομάζεται ἢ ἔστιν ἢ τινος τῶν συνωνυμούντων, ἀνθυποφορὰν δὲ ἔχει τὴν ἐκ τοῦ πύσματος ἀντωνυμικήν, τίς Τρύφων ὀνομάζεται; τίς Τρύφων

λέγεται; πρὸς ὃν φαμεν ἐγὼ ἢ οὗτος ἢ τι τῶν συζύγων. ἢ ἀντεστραμμένως μετὰ ἀντωνυμίας, ἀνθυποφορᾶς οὔσης ὀνοματικῆς. διὰ μὲν γὰρ ἀγνοίαν καταστήματός φησιν ὁ Νέστωρ

τίς δ' οὗτος κατὰ νῆας ἀνὰ στρατὸν ἔρχεαι οἷος;

ᾧ ἀνθυπενέχθη τὸ

γνώσεαι Ἀτρείδην Ἀγαμέμνονα·

ὁ μέντοι Πρίαμος ὁρῶν τὸν Ἀγαμέμνονα πεῦσιν ποιεῖται τὴν κατὰ τοῦ κυρίου ὀνόματος, πρὸς ὃν πάλιν ὑπάγεται τὸ

οὗτος δ' Ἀτρείδης,

ἀναγκαίως συνενεχθείσης τῷ ὀνόματι τῆς δεικτικῆς ἀντωνυμίας, ἵνα ἀφορίσῃ τὸ τοῦ Ἀγαμέμνονος πρόσωπον πολλῶν συνόντων. καὶ σαφὲς ἐντεῦθεν ὡς διὰ μὲν τῆς ὀνοματικῆς συντάξεως τὴν οὐσίαν ἐπιζητοῦμεν τοῦ ὑποκειμένου — ταύτην γὰρ μόνον αἱ ἀντωνυμίαι ἐμφαίνουσι, τῆς ὑπ' αὐτῶν δείξεως συνεξηγουμένης τὰ παρεπόμενα, ἔνθεν ἐπὶ πᾶν ὑποκείμενον συντείνουσι —, διὰ μέντοι τῆς ἀντωνυμικῆς συντάξεως τῆς μὲν οὐσίας ἐπιλαμβανόμεθα, τῆς δὲ ἐπιτρεχούσης ἰδιότητος κατὰ τὴν τοῦ ὀνόματος θέσιν οὐκέτι. καὶ δῆλον ὡς ἀντὶ τῶν κυρίων ὀνομάτων εἰσὶν αἱ ἀντωνυμίαι, εἴ γε διὰ τῆς ἐξ αὐτῶν πτώσεως τὰ κύρια νοεῖται, καὶ τῆς τῶν κυρίων πάλιν τὰ ἀντωνυμικὰ ἀνθυπάγεται. Εἰ μέντοι γε μόνον παραλαμβάνοιτο τὸ

τις, οἷον τέ ἐστι καὶ τὰ ὑπόλοιπα ῥήματα συντάσσεσθαι, τίς περιπατεῖ; τίς ἀναγινώσκει; ἐφ' ὧν ἀνθυπαγωγὴ γινομένη διὰ μὲν ἀντωνυμίας οὐκέτι δέεται ἑτέρας πεύσεως, εἰ φαίημεν ἐγὼ ἢ οὗτος — ὡρισμένα γὰρ πρόσωπα ἐμφαίνει —; ἐπὶ δὲ ὀνομάτων διὰ τὴν παρεπομένην ὁμωνυμίαν οὐκ ἐν τῷ αὐτῷ ὁρισμῷ ἀνθυπάγεται ἡ σύνταξις. φαμένου γάρ τινος Αἴας, ἀνθυπαχθήσεται ὁπότερος; διὰ τὴν ὁμωνυμίαν· ᾧ πάλιν ἀνθυπαχθήσεται τὸ ἰδίᾳ παρακολουθῆσαν τῷ ἑτέρῳ, καθὼς προείπομεν, μετὰ συντάξεως ἀρθρικῆς, τὸ ὁ μέγας ἢ ὁ Τελαμώνιος,

Αἴας δ' ὁ μέγας αἶψα ἐφ' Ἕκτορι,

πάνυ εὐλόγως, ἐπεὶ τὰ ἐπιθετικὰ μετὰ πυρίων ἐκφερόμενα σὺν ἄρθρῳ παραλαμβάνεται· τοιοῦτον γάρ ἐστι τὸ ὅλον, Αἴας δ' ὁ Τελαμώνιος, Αἴας δ' ὁ Σαλαμίνιος. πάλιν γὰρ ἐκεῖ ἐδείξαμεν λείπειν τὸ ἄρθρον,

ἀλλά περ οἷος ἔτω Τελαμώνιος ἄλκιμος Αἴας.

Μετὰ μέντοι προσηγορικῶν καὶ τῶν προειρημένων ῥημάτων σύνταξις ἀρθρικὴ γίνεται, τίς ὁ ἄνθρωπος καλεῖται; πάνυ εὐλόγως· πάλιν γὰρ τὰ τίς τὸ ἴδιον ἐπιζητεῖ τοῦ ὀνόματος, τοῦ κοινοῦ προεγνωσμένου. Μετὰ δὲ τῆς τῶν μετοχέων καὶ τῶν κλητικῶν ῥημάτων ἐπιφορᾶς αἱ προτιθέσεις τῶν ἄρθρων γίνονται, τοῦ λέγεται,

ὀνομάζεται, καλεῖται, τίς ὁ παλαίσας λέγεται; τίς ὁ δραμὼν καλεῖται; τίς ὁ νικήσας ὀνομάζεται; εἰ γὰρ μὴ τῆδε ἔχοι, οὐδὲ τὸ ἄρθρον προστίθεται, τίς δραμὼν ἐστεφανώθη; τίς παλαίσας ἐδοξάσθη; τίς ἀναγνοὺς ἐτιμήθη; καὶ πρόδηλος πάλιν ἡ αἰτία, εἴ γε τὰ μὲν μετὰ ἄρθρων εἰρημένα γνῶσιν τούτου διὰ τῆς μετοχῆς ἐπαγγέλλεται, καθὸ μόνον ἐνήργησεν, οὐ μὴν τὴν ἰδίᾳ παρακολουθοῦσαν θέσιν τοῦ ὀνόματος· ἡ γὰρ δίχα τοῦ ἄρθρου σύνταξις λεγομένη ζητεῖ τὸ πρόσωπον διὰ τοῦ τίς τὸ τῆς μετοχῆς. Ἐντεῦθεν οὖν συνάγεται ὡς τὸ ἐρωμένη ὀνοματικὴν ἔχει σύνταξιν. ἰδοὺ γὰρ χωρὶς ἄρθρου φαμέν, ἐπιφερομένου ῥήματος τοῦ ὀνομάζεται ἢ ἔστιν ἢ τινος τῶν τοιούτων, τίς ἐρωμένη ἐστὶ Θέωνος; ὡς εἰ καὶ φαίη τις τίς δούλη ἐστὶ Θέωνος; ὃ περ οὐ παρακολουθήσει, ὡς προείρηται, ἐν μετοχῇ, τίς νικωμένη ἐστὶ Θέωνος; μετὰ μέντοι ἄρθρου καὶ τῆς ὑπὸ προθέσεως κατὰ γενικὴν τὴν συνοῦσαν διὰ τὸ πάθος, οἷον τίς ἡ νικωμένη ἐστὶν ὑπὸ Θέωνος; ἐφ' ἧς πάλιν συντάξεως οὐ παρείπετο, λέγω ἐπὶ τοῦ ἐρωμένη ἐστὶ Θέωνος· ἅπαξ γὰρ ἡ σύνταξις οὐ παραδεξαμένη τὸ ἄρθρον οὐδὲ τὴν ὑπόλοιπον σύνταξιν τῆς μετοχῆς ἀπεδίδου.

Τὸ ποῖος μετὰ προσηγορικῶν συνταττόμενον, ἤνίκα τὸ ἔστιν ἐπιφέρεται, ἐπιδέχεται

σύνταξιν τὴν τοῦ ἄρθρου, ποῖος ὁ ἄνθρωπός ἐστιν; ἄλλου δὲ ῥήματος ἐπιφερομένου ἀνέφικτος ἡ πρόσθεσις τοῦ ἄρθρου, ποῖος ἄνθρωπος ἐνίκησε; Καὶ τὰ ὑπόλοιπα δὲ πευστικὰ περὶ τὰς αὐτὰς συντάξεις καταγίνεται, πόσος ὄχλος ἐν τῇ ἀγορᾷ διατρίβει; πόσος ὄχλος ἐστὶν ἐν Ἀλεξανδρείᾳ; πηλίκος ἄνθρωπος ἐνίκησε τὰ Ὀλύμπια; καὶ μετὰ ἄρθρου γὰρ ἡ τοιαύτη σύνταξις, πηλίκος ὁ παῖς, πηλίκος ὁ ἀνήρ ἐστι; πρόδηλον ὡς διὰ τὴν τοῦ ἔστι σύνταξιν.

Τὸ τίς καὶ τὸ ποῖος καὶ ἐπὶ τὰς πλαγίους πληθυντικὰς φέρεται πάντως σὺν ἄρθροις λεγομένας, χωρὶς εἰ μὴ ἀντωνυμικαὶ εἶησαν, τίς τῶν ἑταίρων παραγίνεται; τίς τῶν Τρώων ὑπερμαχεῖ; καὶ ἐπὶ κυρίων, πότερος τῶν Αἰάντων ἰσχυρότερος; ἐφ' ὧν πάλιν ἡ προ-
83 αποδεδομένη ἀνθυπαγωγὴ παραλαμβάνεται. καὶ ἔτι ἐπ' ἀντωνυμιῶν, τίς ὑμῶν; πότερος ὑμῶν; πότερος αὐτῶν; Πῶς οὖν οὐ γελοῖοι οἱ καὶ τὸ ἄλλος ἀντωνυμίαν παραδεξάμενοι; ἰδοὺ γὰρ σὺν ἄρθροις φαμὲν τίς τῶν ἄλλων ἀνθρώπων;

38 Τῶν προειρημένων συντάξεων αἱ μὲν δυνάμεναι τὰ ἄρθρα προλαβεῖν, ἀμείψασαι τὸ πτωτικὸν πύσμα εἰς ἐπιῤῥηματικόν, δεικτικαὶ γίνονται ἄρθρου, ποῖος ἄνθρωπος ἐνίκησε; πῶς ὁ ἄνθρωπος ἐνίκησε; τίς δρα-

μῶν ἐνίκησε; πῶς ὁ Δραμῶν ἐνίκησε; πόσος ὄχλος παραγίνεται; πότε ὁ ὄχλος παραγίνεται; Ἔστω οὖν καὶ τοιαύτη ἡ σύνταξις, παῖαι τῶν Τρώων φυλακαὶ φυλάσσονται; καὶ κατὰ τὴν προκειμένην αἰτίαν μεταλαμβανέσθω τὸ ἐπίῤῥημα, καὶ πάντως ἄρθρον ἀπαιτήσει, πῶς αἱ τῶν Τρώων φυλακαὶ φυλάσσονται; Τί οὖν οὐχὶ προσεπινέχθη ἐκεῖ πρὸς τοῦ Ἀριστάρχου, πῶς δαὶ τῶν ἄλλων Τρώων, καὶ τοῦ λόγου ἀπαιτοῦντος τὸ ἄρθρον καὶ τῆς φωνῆς ἐγκειμένης τοῦ ἄρθρου; πρὸς οἷς οὐ μόνον διὰ τὸ προειρημένον πύσμα τὸ ἄρθρον ὀφείλει παραλαμβάνεσθαι, ἀλλὰ καὶ καθὸ αἱ γενικαὶ μετὰ ἄρθρου λεγόμεναι κατὰ σύνταξιν τὴν τῶν κτημάτων ἔχουσι καὶ τὰ κτήματα σὺν ἄρθροις λεγόμενα, αἱ τῶν Ἑλλήνων πόλεις
84 ἐπανέστησαν τοῖς βαρβάροις. ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου· χρὴ γὰρ ἀμφότερα συναναφέρεσθαι, ἐπεί τοι εἰ λείψει τὸ ἄρθρον τοῦ πόλεις, ἔσται ὁ λόγος παραλαμβάνων τὸ τινές, μερικωτέρας τῆς ἐπαναστάσεως γινομένης, τῶν Ἑλλήνων τινὲς πόλεις ἐπανέστησαν. καὶ κατὰ τὸ τοιοῦτον ἄρα τὸ πῶς δαὶ τῶν ἄλλων Τρώων ἄρθρον συνέξει. Ἀλλὰ φαίνεται ὅτι τὸν Ἀρίσταρχον ἐκίνει τὸ ἔθιμον τοῦ ποιητοῦ, ὃς συνήθως μὲν ἐλλείπει τοῖς ἄρθροις, συνάπτει δὲ μετὰ τὰ πύσματα

τὸν δαί σύνδεσμον,

τίς δαίς, τίς δαὶ ὅμιλος ὅδ' ἕπλετο;
ποῦ δαὶ νηῦς ἕστηκε;

κατὰ γὰρ τὴν προειρημένην σύνταξιν ἐπὶ τούτου πάλιν λείπει τὸ ἄρθρον· καὶ ἦν ἐγκείμενος ὁ δαί σύνδεσμος, λείποντος ἐνικοῦ ἄρθρου, λέγω τοῦ ἡ. καὶ σαφὲς ὅτι κατὰ τὴν τοιαύτην σύνταξιν πρόδηλα τὰ τοῦ λόγου καθειστήκει, λέγω ἡ λεῖψις μὲν τοῦ ἄρθρου, παράθεσις δὲ ἡ τοῦ συνδέσμου. καὶ οὕτως ἀκριβέστερον τὸ Ὁμηρικὸν ἔθος ἀπεδείκνυτο. καὶ γὰρ ἐπ' ἀλλων τὸ δέον ἦν παραδέξασθαι καὶ τὸ σύνηθες προὐκρίνετο·

σὺ δὲ θᾶσσον Ἀθηναίη ἐπίτειλαι,

λέγω κατὰ προσταχτικὴν προφορὰν προπαροξύνων. ἀλλ' ἦν ἄλλα τινὰ τὰ διδάσκοντα ἀπαρεμφάτως ἀναγνῶναι, εὐθέως ἐκ τοῦ παρακειμένου

πειρᾶν δ' ὥς κεν Τρῶες
καὶ ἐκ τοῦ

τὰ δ' ἄποινα δέχεσθαι

καὶ πλείστων ἄλλων. Αἰτία δ' ἐστὶ τοῦ τὰ πευστικὰ ἐπιρρήματα εὐπαράδεκτον ποιεῖσθαι τὴν τῶν ἄρθρων ἐπένθεσιν, καθὸ οὐκέτι τὰ συνόντα πτωτικὰ πάντως ἐν ἀγνοίᾳ ἐστίν. ἡ γὰρ ἐκ τῶν πυσμάτων ἄγνοια ἐπιρρηματικὴ οὖσα ἐπὶ τὰ ῥήματα φέρεται, εἴ γε ὁ οὕτω λέγων ποῖος ἄνθρωπος ἐνίκησε; τὸν μὲν ἄνθρωπον ἀγνοεῖ,

τὸ δὲ πρᾶγμα κατέλαβε, τὸ ὅτι ἐνίκησεν· ὁ δὲ οὕτω λέγων, ὅτι πῶς ὁ ἄνθρωπος ἐνίκησεν; ὁμολογεῖ μὲν εἰδέναι τὸν ἄνθρωπον, τὴν δὲ γενομένην πρᾶξιν εἰς τὸ νικῆσαι ἀγνοεῖ.

39 Ἐξῆς ῥητέον καὶ περὶ τῆς τῶν κτητικῶν ἀντωνυμιῶν συντάξεως. Αὗται δὴ προτασσόμεναι τῶν κτητικῶς νοουμένων ὀνομάτων χωρὶς μὲν ἄρθρων πλῆθος παρεμφαίνουσιν, ἐμὸς οἰκέτης προσῆλθε, καθὼς δὲ εἴπομεν, προσλαβοῦσαι ἄρθρον ὡς μοναδικὴν κτῆσιν παρεμφαίνουσιν, ὁ ἐμὸς οἰκέτης παρεγένετο. διὸ καὶ λείπει τὰ τοιαῦτα ἄρθρους,

σὸς δέ που ἔφυγε κῆρας ἀδελφεός·

περὶ ἑνὸς γὰρ τοῦ Ἀγαμέμνονος ἀποφαίνεται·

πατὴρ δ' ἐμὸς αὐτίκ' ὄισθείς·

μία γὰρ κτῆσις ἡ τῶν πατέρων. καὶ μᾶλλον τὸ ἐξῆς ἐστὶν ὁ δὲ ἐμὸς πατὴρ ὄισθείς. εἰ γὰρ προτεθείη μὲν τὸ ὄνομα, ἐπενεχθείη δὲ ἡ ἀντωνυμία, πάντως καὶ τὸ τῆς ὑπάρξεως ῥῆμα ἐπενεχθήσεται, βεβαίωσιν τῷ κτήτορι δηλοῦν, ὁ πατὴρ ἐμός ἐστιν, ὁ ἀγρὸς ἐμός ἐστιν. εἰ μέντοι ἀναστραφείη ἡ ἀντωνυμία, ἡ ὑπόλοιπος χρῆσις τῶν ῥημάτων εὐπαράδεκτος, ὁ ἐμὸς πατὴρ τρέχει, νικᾷ, ὑβρίζει, ὑβρίζεται· εἰ δὲ καὶ τῷ ὁ πατὴρ ἐμός ἐστι προσθείημεν ἕτερον ἄρθρον, ἔχοι ἂν τὴν αὐτὴν σύνταξιν τῇ προειρημένῃ. τοῦ μὲν πρώτου ὁ ἐμὸς πατὴρ φιλοσοφεῖ, τοῦ δὲ δευτέρου ὁ

πατὴρ ἐμός ἐστι, τοῦ δὲ τρίτου ὁ πατὴρ
ὁ ἐμὸς φιλοσοφεῖ, ὁ πατὴρ ὁ ἐμός ἐ-
στιν. ἢ δώσει τις οὖν, ὡς ἔφαμεν, τὸ ἐξῆς εἶναι
ὁ δὲ ἐμὸς πατὴρ οἰσθείς, ἢ ἑτέρου πρός-
θεσιν ἄρθρου πρὸ τοῦ ἐμός, πάλιν τοῦ δὲ ὑ-
περβιβαζομένου, ὁ δὲ πατὴρ ὁ ἐμὸς οἰσθείς.

Χρὴ δὲ γινώσκειν ὡς ἡ ἀντωνυμικὴ σύντα-
ξις ἀρξαμένη ἀπαράδεκτός ἐστι δύο ἄρθρων,
ὁ ἐμὸς ἀγρός, ὁ ἐμὸς δοῦλος, καθὼς πρό-
κειται· ἡ δὲ τοῦ ὀνόματος προκατάρξασα καὶ δύο
ἄρθρων ἐστὶ δεκτική, ὁ δοῦλος ὁ ἐμός, ὁ
πατὴρ ὁ ἐμός, ὁ δοῦλος ὁ ἐκείνου, τῶν δύο
ἄρθρων δύο ἀναφορὰς διαφόρους δηλούντων. ἐν
μὲν γὰρ τῷ ὁ δοῦλος τοιοῦτόν τί ἐστιν, οὐκ ἄλ-
ος ἢ ἐκεῖνος ὁ πάλαι νοούμενος· ἐν δὲ τῷ ὁ ἐκεί-
νου, ὁ οὐκ ἄλλου ἢ τοῦ ἐκπαλαι νοουμένου δε-
σπότου, καθὼς ἀπεδείξαμεν ἐν τῷ ὁ πατὴρ ὁ
ἐκείνου. καὶ ἔνθεν τρία ἄρθρα παραλαμβάνεται
κατὰ δύο ὀνομάτων κατὰ τὴν προειρημένην τή-
87 ρησιν, ὁ φίλος ὁ τοῦ ἀνθρώπου· διὰ μὲν
τοῦ πρώτου οὐκ ἄλλος ἢ ὁ προεγνωσμένος, διὰ
δὲ τοῦ δευτέρου οὐκ ἄλλου ἢ τοῦ προγινωσκο-
μένου ἀνθρώπου, οὗ καὶ τὸ τρίτον ἐστὶν ἄρ-
θρον. ἐν γοῦν τῷ ὁ πατὴρ ὁ τούτου οὐ προς-
τίθεται τὸ τοῦ ἄρθρον, οὐδὲ ἐν τῷ ὁ πατὴρ
ὁ ἐκείνου, ἐπεί γε οὐ δύνανται αἱ τοιαῦται
γενικαὶ ἀντωνυμίαι δεικτικαὶ οὖσαι ἄρθρον ἀνα-

δέξα-

δέξασθαι, καθὼς ἀπεδείξαμεν. ὁμοίως δὲ καὶ τῷ ὁ πατὴρ ὁ ἐμὸς τὰ τῆς συντάξεως τὸν αὐτὸν ἐπέχει λόγον· τὸ γὰρ πρόσωπον τὸ τῆς ἀντωνυμίας, ὡς εἴπομεν, γενικῆς ἐστίν, εἰς ἣν καὶ μεταλαμβάνεται, ὁ πατήρ μου. Μὴ δ παραλελείφθω δὲ καὶ κἀκεῖνο, ὡς τὰ ἐπιτρέχοντα πτωτικὰ τὴν τῶν προσηγορικῶν θέσιν, πρὸς λαμβάνοντα κατ' ἀρχὴν εὐθὺ λόγου ἄρθρου, ἐμποδίζει τὴν τοῦ ἑτέρου ἄρθρου παρείσδυσιν· οἷόν τε γάρ ἐστι φάναι ὁ ἄνθρωπος ὁ ἀγα- 10 θός, οὐ μὴν ὁ ἀγαθὸς ὁ ἄνθρωπος· ὁ δοῦλος ὁ ἐμός, οὐ μὴν ὁ ἐμὸς ὁ δοῦλος· ὁ παῖς ὁ γράψας, οὐ μὴν ὁ γράψας ὁ παῖς. καὶ σαφὲς ὅτι αἰσία ἔσται τοιαύτη ἐπεὶ τὰ ἐπιθετικώτερον ἀκουόμενα φέρεται ἐπὶ τὰ 15 ὑποκείμενα· οὐ μὴν τὰ ὑποκείμενα πάντως ἐπὶ τὰ ἐπιθετικά, εἴ γε τὸ ἄνθρωπος οὐχ ἑπομένως τῷ λόγος, τὸ γε μὴν λόγιος τὸ ἄνθρωπος συμβαίνει καὶ τὴν συνοῦσαν ἀναφορὰν ἐν- τεῦθεν· ὁ λόγιος συμφέρεσθαι ἐπὶ τὸ ἄνθρωπος, 20 καὶ ὡς οὐκ ἔστι προσθεῖναι μετὰ τοῦ λόγιος τὸ 88 αὐτὸ ἐπιθετικὸν λόγιος, οὕτως οὐδὲ μετὰ τοῦ 88 ἐν τῷ ὁ λόγιος ἄνθρωπος ἕτερον ἄρθρον· ταὐτὸ γὰρ ἀντικεῖται διὰ τοῦ συνόντος ἐπιθέτου. Τρύφων φησὶ προτάσσεσθαι καὶ τῶν ἄλ- 25 λων πλαγίων τὸ ἄρθρον τὸ ὁ μετοχῆς ἐπι- φερομένης καὶ τῆς οὕτος ἀπαρεμφάτου μετὰ βά- σεως τοῦ ἐστιν, ὁ τοῦ ἀνθρώπου ὑβρίσαντος

οὕτως ἐστιν. οὐδὲν δὲ κωλύει καθολικώτερον φάναι καὶ εὐθείας οἱασδήποτε ῥημάτων τε τῶν ὕπαρξιν σημαινόντων ἢ ἀνομαστικὴν ἢ οὐσιώδη, ὁ τὸν ἄνθρωπον ὑβρίσας Θέων ὀνομάζεται, ὁ τὸν ἄνθρωπον λακτίσας ἵππος ἐστίν, ὁ τὸν ἄνθρωπον ὑβρίσας ἐγώ εἰμι, ἐπεξεργάσασθαί τε τὴν αἰτίαν οὕτως ἔχουσαν. αἱ πλάγιαι συντάσσονται ταῖς εὐθείαις μεταξὺ πίπτοντος ῥήματος, οὗ τὰ τῆς διαθέσεως ἐπὶ τὴν πλαγίαν μέτεισιν ἐκ τῆς συνούσης εὐθείας, τὸν ἄνθρωπον ὕβρισε Θέων, τὸν ἄνθρωπον ἐλάκτισεν ἵππος. ἐφ' ἧς δὴ συντάξεως εἰ προσθείημεν τὸ ἄρθρον πρὸ τῆς ἐγκειμένης εὐθείας, μένει τὰ τοῦ λόγου κατάλληλα, τὸν ἄνθρωπον ὕβρισεν ὁ Θέων, τὸν ἄνθρωπον ἐλάκτισεν ὁ ἵππος· εἰ μέντοι πρὸ τῆς αἰτιατικῆς, οὐ γενήσεται τὰ τοῦ λόγου κατάλληλα, ὁ τὸν ἄνθρωπον ὕβρισε Θέων· τὸ γὰρ ἄρθρον ἀποστὰν τῆς εὐθείας τὸν λόγον παραφθείρει. καὶ ἔνθεν τὸ ῥῆμα μετοχὴ γίνεται, ἵνα ἀποδῷ τῷ ἄρθρῳ καὶ τὴν ὀξυτὴν πτῶσιν καὶ τὸ ἀρσενικὸν γένος. καὶ ἐπεὶ ἀδύνατόν ἐστι δίχα ῥήματος λόγον συγκλεῖσθαι, παραλαμβάνεται ῥῆμά τι τῶν ὕπαρξιν δηλούντων, ἵνα τὴν τοῦ δράσαντος προσώπου διάθεσιν δηλώσῃ, ἐπεὶ καὶ πρόσωπον εἰ μετοχὴ ἀμαυροῖ, ὁ τὸν ἄνθρωπον ὑβρίσας Τρύφων ἐστίν ἢ Τρύφων ὀνομάζεται.

Καὶ ἐπὶ τῶν ἀντωνυμιῶν αὐτὸ μόνον τὸ ἔστιν ἢ ἔγκλιμα τούτου παραλαμβάνεται, οὗτός ἐστιν ἢ οὗτος ἦν, ἐγώ εἰμι, σὺ εἶ· οὐσίας γὰρ μόνης εἰσὶ σημαντικαὶ αἱ ἀντωνυμίαι, ἣν περ σημαίνει τὸ εἰμί· τοῖς δὲ ὀνόμασι τὸ ὄνομάζεται καὶ τὰ σύζυγα, ἐπεὶ ὀνομάτων ἴδιον τὸ ὀνομάζεσθαι ἢ καλεῖσθαι, ὁ τὸν ἄνθρωπον ὑβρίσας Τρύφων λέγεται ἢ καλεῖται. Οὐχὶ οὖν καὶ τὸ ἔστι συντάσσεται; Πάνυ εὐλόγως, ἐπεὶ ὑπάρχει τοῖς μὲν ὀνομαζομένοις τὸ οὐσιῶδες, οὐ μὴν τοῖς οὐσιώδεσιν ἢ ἰδία θέσις τῶν ὀνομάτων. οὐ γὰρ εἰ οὗτος, πάντως καὶ Ὀδυσσεύς· εἰ δέ τις Ὀδυσσεύς, πάντως καὶ οὗτος,

οὗτος δ' αὖ Λαερτιάδης πολύμητις Ὀδυσσεύς,

Αἱ τοιαῦται συντάξεις ἐγχωροῦσι καὶ ἐπὶ γενικῶν καὶ ἐπὶ δοτικῶν, τῶν γενικῶν ἐξαίρετον ἐχουσῶν τὸ καὶ μετοχῆς μὴ ἐπιφερομένης προσλαμβάνειν ἄρθρον, ὃ πάντως φέρεται ἐπὶ τὸ κτῆμα, ὃ ἐξ αὐτῆς μόνης νοεῖται, διὸ καὶ ἐξαίρετον ἔσχε τὴν σύνταξιν, ὁ τοῦ ἀνθρώπου οἰκέτης ἔδραμεν. εἰ γὰρ μὴ τῆδε ἔχοι, ἐπὶ ῥῆμα δὲ φέροιτο, οὐδὲ προσλαμβάνει τὸ ἄρθρον, ἀνθρώπου ἀκούω, ἀγροῦ δὲ σπόζω.

42 Σὺν δυσὶν ἄρθροις λέγεται ἐν προσηγορικοῖς, καθ' ἣν προεκτεθείμεθα σύνταξιν, τὸ

τῆς ἐλάφου ἔκγονον, ὁ τοῦ ἀνθρώπου υἱός. μετὰ δὲ κυρίων οὐ λυπεῖ κἂν χωρὶς τοῦ ἰδίου ἄρθρου, ὁ Ἀριστάρχου γνώριμος, ὁ Ἀπολλωνίου φίλος. καὶ κατὰ τὸ τοιοῦτον κυρίου σύνταξιν ἀποφέρεται τὸ βασιλεύς· φαμὲν γὰρ ὁ βασιλέως οἰκέτης παρεγένετο, τῶν ἄλλων προσηγορικῶν ἀπαραδέκτων ὄντων. Καὶ μή ποτε εὐλόγως τὰ προσηγορικὰ δύο ἄρθρα αἰτεῖ. οὐ γὰρ ἔνδεκτον ἀναφέρεσθαι, κτῆμά τινος τοῦ κτήτορος μὴ οὐχὶ προαναφερομένου· ἢ γὰρ ἀμφότερα χωρὶς ἄρθρου, λέοντος σκυμνίον ἕδραμεν, ἢ ἀμφότερα συναπενεχθήσεται, τὸ τοῦ λέοντος σκυμνίον ἕδραμε. τὰ μέντοι κύρια διὰ τῆς ἰδίας θέσεως ἀναπολούμενα οὐχ οὕτω προσδέεται τοῦ ἄρθρου. ταύτῃ μοι δοκεῖ εὐπαράδεκτον γίνεσθαι καὶ τὸ ὁ βασιλέως οἰκέτης, καθὸ δυνάμει κύριόν ἐστιν ὄνομα τὸ ὁ βασιλεύς. νοεῖται γὰρ ἐκ τοῦ ἐπικρατοῦντος ὁ Πτολεμαῖος, καὶ μᾶλλόν γε
21 ἰδιάζεται τοῦ Πτολεμαίου, εἴ γε ὁμώνυμοι μὲν Πτολεμαῖοι, εἰς δὲ εἰς ὃν τὰ τῆς βασιλείας ἀνηνέχθη.

Ἔστι δὲ καὶ ἑτέρα σύνταξις μετοχικὴ μετὰ ἀπαρεμφάτου ῥήματος καὶ τῆς ὑπολοίπου συνταξέως, ἣν προεκτεθείμεθα, ὁ τὸν ἄνθρωπον θέλων ὑβρίσαι οὗτός ἐστι. καὶ καθόλου ἡ τῶν προαιρετικῶν ῥημάτων σύνταξις εἰς μετοχὴν μεταλαμβανομένη οὕτω καθίστησι

τὸν λόγον. διότι μέντοι τὰ προαιρετικὰ ῥήματα ἐξαιρέτως ἀπαιτεῖ ἀπαρεμφάτων σύνταξιν, κατὰ τὸν δέοντα καιρὸν παραστήσομεν. Κατὰ δὲ τὰς προειρημένας συντάξεις ἡ ἐκὼν μετοχὴ ἀποστήσεται τῆς τῶν μετοχῶν ἐννοίας· οὔτε γὰρ μετὰ ἀπαρεμφάτου συγκλείει λόγον οὔτε χωρὶς ἀπαρεμφάτου, ὁ τὸν ἄνθρωπον ἐκὼν ὑβρίσαι οὗτός ἐστι. καὶ γὰρ χωρὶς ἀπαρεμφάτου ἀκατάλληλος ὁ λόγος. εἴρηται ἡμῖν ἀκριβέστερον ἐν τῷ περὶ μετοχῶν ἡ αἰτία τῆς ἀκαταλληλότητος.

43 Ἐξῆς ῥητέον καὶ περὶ τῶν ὑποτακτικῶν ἄρθρων, ἃ περ οὐ μόνον τάξει καὶ φωνῇ διαφέρει τῶν προτακτικῶν, ἀλλὰ καὶ ἐν τῇ συντάξει πάνυ διαφέρει. καὶ πρόδηλα μὲν τὰ διάφορα τῆς φωνῆς καὶ τῆς τάξεως, δυσχερέστερα δὲ τὰ τῆς συντάξεως, περὶ ἧς καὶ προειλόμεθα ἐκθέσθαι. Τὰ προτακτικὰ τῶν ἄρθρων συνοδεύει τοῖς ὀνόμασιν εἰς τὸ αὐτὸ ῥῆμα καὶ εἰς τὴν αὐτὴν μετοχήν, ἄνθρωπος περιπατεῖ, ἀνθρώπου ᾄδοντος ἤκουσα· καὶ ἔτι σὺν ἄρθρῳ. ὃ περ ἀδύνατον ἐγχωρῆσαι ἐν ὑποτακτικῷ, λέγω κατὰ ἐνικὴν σύνταξιν· ἑτέρου γὰρ πάντως ῥήματος παρέμπτωσιν αἰτεῖ, ἦλθε γραμματικὸς ὃς διελέξατο, ὃς ἀνέγνω, πᾶν ἐν μεταβάσει γένηται τὰ τοῦ ῥήματος, λέγω ἐν ἑτέρῳ προσώπῳ, ἀνθρώπῳ ὡμίλησα ᾧ παρέσχον ξενίαν. εἰ μέντοι τις τῇ προ-

κειμένη συντάξει προσδῷ τὰ προτακτικὰ ἄρθρα, ἀσύστατος ὁ λόγος γενήσεται, ὁ γραμματικὸς ἦλθε διελέξατο, τῷ ἀνθρώπῳ ὡμίλησα παρέσχον ξενίαν, χωρὶς εἰ μὴ συμπλεκτικὸν σύνδεσμον λάβοιεν, δυνάμενον εἰς κοινότητα τοῦ ἀνθρώπου παραλαμβάνεσθαι· καὶ προῦπτον ὅτι τὸν καὶ ἤ τινα τῶν τούτῳ ἰσοδυναμούντων, ὡς ἀκριβέστερον ἐντελῶς ἐπεδείξαμεν ἐν τῇ τῶν συνδέσμων συντάξει, καθίσταται γοῦν οὕτως, ὁ γραμματικὸς παρεγένετο καὶ διελέξατο, τῷ ἀνθρώπῳ ὡμίλησα καὶ παρέσχον ξενίαν. Καὶ φυσικώτερόν πως ἔστι τὰ τοιοῦτον ἐπινοῆσαι, ὡς ἔφαμεν, τὸ ὑποτακτικὸν ἄρθρον ἐπὶ ῥῆμα ἴδιον φέρεται, συνδεδεμένον διὰ τῆς ἀναφορᾶς τῷ προκειμένῳ ὀνόματι, καὶ ἐντεῦθεν ἁπλοῦν λόγον οὐ παριστάνει κατὰ τὴν τῶν δύο ῥημάτων σύνταξιν, λέγω τὴν ἐν τῷ ὀνόματι καὶ τὴν ἐν αὐτῷ τῷ ἄρθρῳ, ὃ περ πάλιν παρεῖπετο τῷ
93 καὶ συνδέσμῳ· κοινὸν μὲν παρελάμβανε τὸ ὄνομα τὸ προκείμενον, συμπλέκων δὲ ἕτερον λόγον πάντως καὶ ἕτερον ῥῆμα παρελάμβανε, καὶ οὕτω τὸ παρεγένετο ὁ γραμματικὸς ὃς διελέξατο δυνάμει τὸ αὐτὸ ἀποτελεῖ τῷ ὁ γραμματικὸς παρεγένετο καὶ διελέξατο, ἐγγιζούσης καὶ τῆς ὀνομασίας τῶν μορίων· τὸ γὰρ συννεῦσθαι καὶ συνδεδέσθαι οὐ μακρὰν τῆς συνωνυμίας πέπτωκεν.

Ἔστι δὲ καὶ ἄλλη σύνταξις ἰσοδυναμοῦσα τῇ ὑποτακτικῇ τῶν ἄρθρων, ἡ διὰ τῶν ἀναφορικῶν ἀντωνυμιῶν, ἀνθρώπῳ ὡμίλησα καὶ αὐτῷ παρέσχον ξενίαν, ὁ γραμματικὸς παρεγένετο καὶ οὗτος διελέξατο. πάλιν γὰρ ἡ ἐγκειμένη ἀναφορὰ ἐν τῷ ἄρθρῳ συνυπῆρχε ταῖς τοιαύταις ἀντωνυμίαις, καὶ ἔνθεν τὰ τοῦ λόγου καθίστατο ἐγγίζοντα ἑαυτῶν. Οὐχὶ οὖν ὑπολάβοι τις ὑφ' ἓν μέρος λόγου πίπτειν τὰ μόρια; Οὐ πάντως· οὐ γὰρ ὅτι τὸ παρεπόμενον τοῖς ἄρθροις ἐπηνέγκατο, καὶ ἄρθρα ἐστίν, εἴ γε καὶ ἄλλοις διαφόροις διέστηκε τὰ μόρια. καὶ γὰρ καὶ τὰ ῥήματα τὰ εὔχρηστον τῶν κατ' εὐθεῖαν ἀντωνυμιῶν ἐπηνέγκατο, καὶ οὐ πάντως ἓν μέρος λόγου· πάλιν γὰρ καὶ αὐτὰ πολλοῖς διέστηκεν ἰδιώμασιν. ἀλλὰ καὶ προεκτεθείμεθα ὅτι ἀντὶ τῶν ὑποτακτικῶν ἄρθρων ἀθροιστικὸς σύνδεσμος παραλαμβάνεται, καὶ οὐχὶ ἓν μέρος λόγου οἱ ἀθροιστικοὶ σύνδεσμοι καὶ τὰ ἄρθρα. οὐδὲ κατὰ τὴν αὐτὴν σύνταξιν συμφέρονται αἱ ἀντωνυμίαι· αἰτοῦσι γὰρ πάλιν τὸν σύνδεσμον, γραμματικὸς παρεγένετο καὶ οὗτος διελέξατο· προῦπτον ὅτι, εἰ ὑφέλοι τις τὸν σύνδεσμον, ἀσύνετα τὰ τοῦ λόγου γίνεται, πρὸς οἷς καὶ δύνασαι καὶ δεικτικώτερον αὐτὸ τὸ πρόσωπον νοεῖσθαι, γραμματικὸς παρεγένετο καὶ οὗτος διελέξατο, λέγω δει-

κτικῶς καὶ ἔτι ἐπὶ τῆς αὐτὸς ἀναφορικῆς τὸ κατ' ἐρώτησιν πρόσωπον νοούμενον, γραμματικὸς παρεγένετο καὶ αὐτὸς διελέξατο, ὡς εἴ τις οὕτω λέγοι, ὁ δεσπότης, ὁ κύριος. εἰ μέντοι τῇ ἀρθρικῇ συντάξει ἐπενθείη τις τὸν σύνδεσμον, σαφὲς ὅτι ἀφισταμένου τὸ ἄρθρον τοῦ συνερτᾶσθαι οὐκ ἀνείσει τὸ προκείμενον ὄνομα, ἄλλο δέ τι ἀοριστωδῶς νοούμενον, ἀνθρώπῳ ὡμίλησα καὶ ᾧ ξενίαν παρέσχον. Πῶς οὖν τοσαύτης διαφορᾶς οὔσης παραδέξεταί τις τὸ ὑφ' ἓν μέρος λέγου ὑπάγειν σὰ ἄρθρα καὶ τὰς ἀντωνυμίας;

44. Ὅτι τὰ ὑποτακτικὰ ἄρθρα διαφορεῖ πρὸς τὸ καταλληλον τῆς πτώσεως τῶν προτασσομένων αὐτῶν ὀνομάτων, πρὸς ἃ καὶ ἀναπέμπει τὴν ἀναφοράν, ἀνθρωπος ἦλθεν ὃν ἐξένισα, φίλου ἤκουσα ᾧ καὶ πρώην συνέβαλον. καὶ ἐξ εὐθείας μὲν ὀνόματος παράθεσις γίνεται καὶ πλαγίας πτώσεως, ἐπὰν ἑτέρῳ προσώπῳ ἡ διάθεσις τοῦ ῥήματος προσγίνηται· ἐκ δὲ πλαγίας ὀνόματος εὐθείας ἐπιφέρεται ἄρθρα, ἐπὰν ἡ τοῦ ἄρθρου ἀναφορὰ τὸ ῥῆμα προσενείμῃ τῷ προκειμένῳ ὀνόματι, τῷ κατὰ τὴν πλαγίαν· τότε γὰρ δύο εὐθεῖαι νοοῦνται, λέγω τοῦ ὀνόματος καὶ τοῦ ὑποτακτικοῦ ἄρθρου, ὅταν τὸ αὐτὸ πρόσωπον τὰς δύο διαθέσεις συνέχῃ. τοῦ μὲν οὖν πρώτου γραμματικὸς ἦλθεν ᾧ Τρύφων ὡμίλησεν·

ἐν γὰρ τῇ εὐθείᾳ τοῦ Τρύφων τὰ τοῦ ῥήματος ἐνεγένετο· τοῦ δὲ δευτέρου

ἄνδρα μοι ἔννεπε, Μοῦσα, πολύτροπον, ὃς μάλα πολλὰ
πλάγχθη·
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς

ἦσαν μὲν γὰρ πλάγιαι, τῆς δὲ διαθέσεως ἠρτημένης ἐκ τῶν Μουσῶν αἱ εὐθεῖαι ἐπηνέχθησαν διὰ τὸ τὸν ἄνδρα τὴν διάθεσιν ἀναδεδέχθαι καὶ ἔτι τὴν μῆνιν· ἔστι γὰρ ὃς ἐπλάγχθη, ἣ ἔθηκε μυρία κακὰ τοῖς Ἕλλησι. καὶ ἔτι τοῦ τρίτου

ἤ κε μέγ' οἰμώξειε γέρων ἱππηλάτα Πηλεύς,
ὃς ποτέ μ' εἰρόμενος μέγ' ἐγήθησεν·

καὶ γὰρ τὸ οἰμώξειεν ἐπὶ τοῦ Πηλέως τέθηπε καὶ τὸ ἐγήθησεν.

45 Ταύτῃ μοι δοκεῖ καὶ ἀκαταλλήλως κεῖσθαι τὰ ἄρθρα πρὸς τὰ προκείμενα πτωτικὰ λόγον καταλληλον συγκλείειν, καθὸ τοῖς ῥήμασι καταλλείοντα λόγον τὴν τούτοις συνοδεύουσαν πτῶσιν μεταλαμβάνει, ὥστε τὴν αἰσφοραὶν μὲν χαρίζεσθαι τῷ ὀνόματι, τὴν δὲ πτῶσιν τῷ ῥήματι, διεπεμψάμην φίλῳ ὃν καὶ Τρύφων γινώσκει, εἴ γε τὸ γινώσκειν αἰτιατικὴν ἀπαιτεῖ. Ἔτι τὸ Ἀρίσταρχός ἐστιν ὁ ἐξηγησάμενος τὰ ποιήματα προφανῶς ἀνελλιπές ἐστιν· εἰ μέντοι ἀντὶ τοῦ ὁ τὸ ὅς τις

θείη, οὐκέτι, Ἀρίσταρχός ἐστιν ὃς ἐξηγησάμενος τὰ ποιήματα. καὶ φαίνεται ἔτις καθὼς προείπομεν, διὰ τὴν ἰδιότητα τοῦ ὑποτακτικοῦ ἄρθρου· προσλαβὸν γοῦν τὸ ῥῆμα ἀπαρτίζει τὸν λόγον, Ἀρίσταρχός ἐστιν ὃς ἐξηγησάμενος τὰ ποιήματα ἐθαυμάσθη. Προφανὲς οὖν ὅτι τὰ τῇ φωνῇ προτακτικὰ ἄρθρα οὐκ ἄλλως ἐπινοηθήσεται ὅτι ἀνθ' ὑποτακτικῶν ἐστίν, εἰ μὴ ἐπὶ ῥῆμα φέροιτο, ὃ περ ἴδιον ὑποτακτικῶν, ἤδη καὶ τῆς τάξεως καὶ τῆς φωνῆς τὸ τοιοῦτον ἐνδεικνυμένης, ὡς ἔχει τὸ

τῷ δ' οὐδὲ χρείων Ἀχελεΐδης ἰσοφαρίζει.

καὶ γὰρ ἕνεκα τῆς τάξεως· μετὰ γὰρ τὸ ὄνομα τέθειται· καὶ ἕνεκα τῆς φωνῆς· ἀπὸ γὰρ τοῦ τ ἤρξατο, τῶν ὑποτακτικῶν δίχα τοῦ τ λεγομένων· καὶ ἔτι τῆς συντάξεως· φέρεται γὰρ ἐπὶ τὸ ἰσοφαρίζει. Πότε μέντοι τὰ τοιαῦτα τῶν ἄρθρων οὔτε ὑποτακτικὰ εἶναι δύναται ἄρθρα οὔτε προτακτικά, ἀλλ' ἢ ἀντωνυμικὰ ἢ ἀοριστούμενα μόρια, ἐπὰν τὰς συντάξεις ἐπίωμεν τῶν ἀντωνυμιῶν, παραστήσομεν.

46 97 Τούτων τῇδε ἐχόντων ἐπιστατέον τῷ καὶ θώρηχ'· ὃ γὰρ ἦν οἷ, ἀπώλεσε πιστὸς ἑταῖρος,

πότερον τὸ ὃ προτακτικόν ἐστι πρὸς τὸ πιστὸς ἑταῖρος, ἢ ἀνθ' ὑποτακτικοῦ ἐστὶ τοῦ ὅς,

ἀναφερόμενον πρὸς τὸ θώρηκα ἢ πρὸς τὸ ἑταῖρος καθ' ὑποταχτικὴν σύνταξιν, [ὡς] εἴρηται. ἀνένφικτον οὖν προταχτικὸν αὐτὸ παραδέξασθαι· οὐ γὰρ μετὰ προταχτικὸν ἄρθρον ῥῆμά ποτε ἐπιφέρεται, ἐπιφέρεται δὲ τὸ ἦν. ὃ οὐκέτ' ἄλλο τι ἀπαιτήσει ἢ ὑποταχτικὸν ἄρθρον, ὅ περ οὐ πιθανὸν ἐπὶ τὸν θώρακα ἀναφέρεσθαι· οὐ γὰρ τοῦτον μόνον ἀπώλεσεν ὁ Πάτροκλος· ἅμα γὰρ

ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰς κνημῖδας ἐπὶ σφυρίοις ἀραρυίας

καὶ θώρηκα.

καὶ ἐάν τις τὸ τοιοῦτον παρῇ, ἔτι μάχεται τὸ ἀκαταλλήλον τοῦ λόγου. δοθήσεται γὰρ ὅτι ἡ ὕπαρξις τοῦ θώρακος διὰ τῆς τοῦ ἄρθρου συντάξεως νοεῖται, καθὼς προεπεδείξαμεν· καὶ εἰ τοῦτο, πῶς τὸ πιστὸς ἑταῖρος συναρτηθήσεται μετὰ ῥήματος, ἑτέρας εὐθείας νοουμένης σὺν ἑτέρῳ ῥήματι τῷ ἦν; πότε δύο εὐθεῖαι καταλλήλον λόγον ἐποίησαν; ἄμεινον οὖν ἐκεῖνο φάναι, ὡς πλαγία καὶ εὐθεῖα καταλλήλον λόγον ποιεῖ. ἡ ῥᾶν εὐθεῖα ἡ διὰ τοῦ ὃς εἰς τὴν αὐτὴν εὐθεῖαν παραλαμβανέσθω τοῦ ἑταῖρος, ὃς ἦν αὐτῷ πιστὸς ἑταῖρος, ἀπώλεσε τὰ προκατειλεγμένα, λέγω ἀσπίδα καὶ τρυφάλειαν καὶ καλὰς κνημῖδας καὶ θώρηκα· ἕτερα γοῦν ἀντὶ τούτων ἁπάντων ἀπαιτεῖται.

χωρὶς εἰ μὴ θέλοι τις αἰτιατικὴν ἔξωθεν προσνεῖμαι, ἐφ' ἣν πάντως ἐνεχθήσεται τὸ ἀπώλεσε, καὶ ἡ πρόσθεσις τοῦ ἄρθρου γένοιτο τοῦ ὅς, καὶ θώρηχ'· ὃς γὰρ ὑπῆρχεν αὐτῷ, τοῦτον ἀπώλεσεν ὁ πιστὸς ἑταῖρος.

Καὶ παρὰ Ἀλκαίῳ οἱ περὶ Ἀπίωνα τὸν μόχθον τὸ Κυλλάνας ὁ μεδεὶς ἐν ῥήματος συντάξει ἤκουον, οὐ παραδεχόμενοι μετοχὴν τοιαύτην ἐκ βαρυτόνου ῥήματος, εἴ γε τῆς τοιαύτης λήξεως οὐκ ἔχονται κατὰ τὸ κοινὸν ἐκ βαρυτόνων οὖσαι ῥημάτων. ἀλλὰ καὶ πρὸς τὸ τοιοῦτον ἐδείκνυτο ὡς καὶ περισπώμενον εἴη ῥῆμα τὸ μεδῶ, ἔνθεν καὶ τὸ

Δωδώνης μεδέων,

ἀφ' οὗ τὸ μέδημι ὡς οἶκημι, καὶ ἔτι ἡ μεδέουσα συνοῦσα μετοχὴ κατὰ τὸ ἀκόλουθον. καὶ τῆς γραφῆς συνηλέγχοντο, οὐκ οὔσης ποτὲ διὰ τοῦ ε κατὰ πᾶν δεύτερον πρόσωπον παρ' Αἰολεῦσιν.

47 Τὰ ὑποτακτικὰ ἄρθρα τότε μὲν ἐν κοινότητι ἔχει τὸ ῥῆμα, ὅταν καὶ ἐπιμερίζῃ τὰ πρόσωπα τὰ προϋποκείμενα. φέρε γὰρ οὕτω φάναι, διέπτησαν ἀετοὶ ὃς μὲν ἀπὸ ἀνατολῆς, ὃς δὲ ἀπὸ δύσεως, ἢ καὶ ἔτι ἐπὶ τῆς τοιαύτης συντάξεως,

οἳ μὲν δυσομένου Ὑπερίονος, οἳ δ' ἀνιόντος·

μετὰ τὸ Αἰθίοπας ἐπιφέρει ὑποτακτικὸν ἄρθρον

τὸ οἵ, ὅ περ συνηθέστερον διὰ τοῦ τ Ὅμηρός φησι,

τοὶ δίχθα δεδαίαται, ἔσχατοι ἀνδρῶν.

καὶ σαφές ἐστιν ὅτι ἡ τοῦ δεδαίαται σύνταξις φέρεται πρὸς τὴν πληθυντικὴν εὐθεῖαν, ἤ τις κατὰ τὸ ἑξῆς ἐπιμεριζομένη πρὸς τὴν τῶν Αἰθιόπων διάστασιν κοινὸν παραλαμβανει τὸ ῥῆμα μετὰ τῶν ὑποτακτικῶν ἄρθρων,

Αἰθίοπες, τοὶ δίχθα δεδαίαται, ἔσχατοι ἀνδρῶν,

οἱ μὲν δυσομένου Ὑπερίονος, οἱ δ' ἀνιόντος.

ὡς εἰ καὶ ἐπ' ἐκείνου τοῦ σχήματος προστεθείη ῥῆμα, πάλιν τὸ ἐξ αὐτοῦ ἐπιμεριζόμενον ἀνεν- 99 δοίαστον ἔσται, οἱ δὲ δύο σκόπελοι ἱκάνουσιν ὃς μὲν ἄχρι τοῦ οὐρανοῦ, ὃς δὲ ἄχρι τοῦ Ὀλύμπου. οὐ προϋπόντος γὰρ τοῦ τοιούτου ἀνάγκη πᾶσα τῷ ὑποτακτικῷ ἄρθρῳ προσγίνεσθαι τὸ ῥῆμα τήν τε προϋποῦσαν εὐθεῖαν, καθὼς ἐπεδείξαμεν, εἰς γενικὴν μετελθεῖν. αὕτη γὰρ μόνη μὴ προσλαβοῦσα ῥῆμα ἐπιμερίζεται εἰς τὰ ἐξ αὐτῆς πρόσωπα νοούμενα· αἵ γε μὴν ἄλλαι πτώσεις οὐκέτι, εἰ μὴ προσλάβοιεν ῥῆμα,

Νεστορίδαι δ' ὁ μὲν οὕτασ' Ἀτύμνιον.

προφανῶς γὰρ πάλιν τὸ ὁ ἀντὶ ταῦ ὅς ἐστι, χωρὶς εἰ μὴ πτωτικὸν λείπει, οὗ προηγήσεται πάντως τὸ ὁ προτακτικὸν ἄρθρον, ἔχοντος τοῦ

λόγου τῆδε, τῶν Νεστοριδῶν ὁ μὲν ἕτερος οὗτος Ἀτύμνιον, τῶν δύο σκοπέλων ὁ μὲν ἕτερος οὐρανὸν ἴκει. καθὸ ἄντις κἀκείνῳ ἐπιστήσειε,

καί μιν πειραίνουσι δύω πόλοι ἀμφοτέρωθεν,

ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος,

πάλιν τοῦ ἐντελοῦς ὄντος ἀλλ' ὃς μὲν οὐκ ἐπίοπτος· ἀπὸ γὰρ κοινοῦ τοῦ πειραίνουσι δυνάμει ἔχει ἐγκείμενον ῥῆμα τὸ πειραίνει, ἐφ' ὃ καὶ φέρεται. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐπιφερομένου λόγου,

ὃς δ' ἐπίοπτος ὤν·

πάλιν πειραίνει τὸν ἄξονα. τοῦτο γὰρ συμφράζεται· ἐκ γὰρ τοῦ βορείνου ὕψους ἀντίος ἐστὶ τῷ τοῦ Ὠκεανοῦ.

ΤΩΝ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ

ΤΟ ΔΕΥΤΕΡΟΝ

100 Τῇ προεκδοθείσῃ συντάξει τῶν ἀρθρων ἀκόλουθον ὑπολαμβάνω καὶ περὶ τῆς τῶν ἀντωνυμιῶν συντάξεως διαλαβεῖν· ἐκεῖνα μὲν γὰρ μετ' ὀνομάτων, ἐν τοῖς λόγοις παρελαμβάνετο, αὗται δὲ ἀντ' ὀνομάτων, οὐ παραδεχόμεναι τὴν τούτων προτακτικὴν σύνταξιν καθ' ἃς προεκτεθείμεθα αἰτίας. καὶ σαφές ἐστιν ὅτι ἕνεκα τοῦ τοιούτου καὶ πτώσεων ἐγένοντο δεικτικαί, ἵνα κατὰ παντὸς τοῦ ὀνόματος ἀνθυπέλθωσι, καὶ προσώπων ἁπάντων διακριτικαί, ἵνα τὸ ἔλλιπὲς τοῦ ὀνόματος, λέγω τὴν τῶν προσώπων διάκρισιν, αὗται ἀνθυπενεχθεῖσαι ἀναπληρώσωσι, καὶ τοῦ μὲν ὀνόματος ἔχωσι τὴν πτῶσιν, τοῦ δὲ ῥήματος τὸ πρόσωπον.

Ἔνθεν δι' ὅλου κλίνονται, δύο τὰς γενικωτάτας κλίσεις ἀποσπάσασαι, καὶ οὐ κατὰ σύγχυσιν ἀλλὰ κατὰ μερισμὸν τὸν δέοντα·
101 τῷ μὲν γὰρ τέλει δηλοῖ τὴν πτωτικὴν κλίσιν,

τῷ δὲ ἄρχοντι τὸν τῶν προσώπων ἐπιμερισμόν. σαφὲς γὰρ ὅτι, εἰ κατὰ τὸ αὐτὸ μέρος αἱ δύο κλίσεις ἐγένοντο, συνέβη ἂν τῆς μὲν πτώσεως γινομένης τὸ ἕτερον νοούμενον ἀποτρίβεσθαι, τὸ τοῦ προσώπου διακριτικόν, καὶ ἔμπαλιν τοῦ προσώπου μεταβαίνοντος παραφθείρεσθαι τὸ τῆς πτώσεως ἰδίωμα. διὸ πτῶσιν μὲν διακρίνουσα ἀποτελεῖ τὸ ἐμοῦ καὶ ἐμοί καὶ ἐμέ, πρόσωπον δὲ τὸ ἐμοῦ-σοῦ, πρόσωπον δὲ καὶ πτῶσιν τὸ ἐμοί - σέ· καὶ ἐν ἅπασιν ἄριστοι τοῖς προκατειλεγμένοις διὰ τὸ ἐν ἑκατέρῳ μέρει ἐγχωρῆσαν ἰδίωμα. ἑκάτεραι γοῦν αἱ κλίσεις ἀποστᾶσαι ἐπὶ τὰ ἴδια μόρια, λέγω τὸ ὄνομα καὶ τὸ ῥῆμα, τῷ τέλει συνεχρῶντο κατὰ τὴν κλίσιν, καλός καλοῦ καλῷ, γράφω γράφεις γράφει, οὐκ ἀπιθάνως καὶ τῆς ἀντωνυμίας χρησαμένης τῇ ὑποστολῇ τοῦ σ, οὐσῃ διακριτικῇ τρίτου προσώπου, σοί-οἷ, ὡς εἰ καὶ λέγεις λέγει. Εὐηθες μέντοι ὑπολαμβάνω, εἰ ἐξεργάσεταί τις διὰ τί μὴ μᾶλλον τὸ τέλος οὐ προσεχώρει τῷ προσώπῳ, καθά περ ἐπὶ τῶν ῥημάτων, ἢ περ τὸ ἄρχον. ἔδει γὰρ ἅπαξ ἑνὶ μέρει προσχωρῆσαι τὸ τέλος, καὶ εἰ ἔστιν εἰπεῖν, εὐλόγως τῷ πτωτικῷ, εἴ γε καὶ πρότερον τοῦ ῥήματος, καθὼς ἀπεδείξαμεν, καὶ δῆλον ὅτι τὸ τούτου ἰδίωμα ἐπικρατήσει
102 τοῦ τέλους, λέγω τὴν πτῶσιν. πρὸς οἷς καὶ ἀντωνυμία ἐστὶ τὸ ἀντ' ὀνόματος παραλαμβανόμε-

νόμενον καὶ ὄνομα μιμούμενον, καὶ σαφὲς ὅτι ἐπακολούθημά ἐστι τὸ ἐγγινόμενον. καὶ εἰ τὰ τέλη ἐπικρατεῖ τῶν μερῶν τοῦ λόγου, τὸ δὲ τέλος τῆς ἀντωνυμίας πτῶσίς ἐστιν, ἐπικρατήσει ἄρα διὰ τοῦ τέλους τὸ καλεῖσθαι ἀντωνυμία, καὶν ῥήματος ἰδίωμα παρεισδύηται, λέγω τὸ πρόσωπον.

Εὔλογον ἡγοῦμαι πρὸ τῆς κατὰ μέρος συντάξεως προδιασαφῆσαι τὰ ἐπακολουθοῦντα ἰδιώματα τοῖς μορίοις ὑπὲρ τοῦ τὴν εἰρησομένην διδασκαλίαν τῆς συντάξεως εὐσυνοπτοτέραν γίνεσθαι. Πρόκειται μὲν οὖν ἡ ἐξαίρετος κλίσις κατὰ ἀμφότερα μέρη, σύνεστι δὲ δεῖξις διττή, ἡ κατὰ ἀπόλυτον ἐκφοράν, οἷον ἔπαισέ με — φανερὸν γὰρ ὅτι δεῖξις, ἀλλ' οὐκ ἐπιτεταμένη οὐδὲ πρός τι ἀνατεινομένη —, καὶ ἡ ἀντιδιασταλτική, ἐμὲ αὐτὸν ἔπαισε· πρόδηλον γὰρ ὅτι ἐπιτέταται τὰ τῆς δείξεως, καθά περ τὰ ἐν τῇ ποιότητι ἐπινοεῖται. λευκὸς ἀπολελυμένην ἔχει τὴν ποιότητα, ἐπιτεταμένην δὲ ἐν τῷ λευκότερος· πρὸς ἕτερον γὰρ πρόσωπον ἀνατείνεται, ὃ πάντως ἐπιζητοῦμεν. ᾧ λόγῳ καὶ τὸ ἐμὲ ἐπιτεῖναν τὴν δεῖξιν ἀπῄτησε πρὸς ὃ ἀπετάθη. διότι μέντοι ἐν ἁπάσαις τὸ τοιοῦτον οὐκ ἐγχωρεῖ, ἐν τοῖς κατὰ μέρος εἰρήσεται. καλοῦνται οὖν αἱ ἐντελεῖς κατὰ τὴν φωνὴν καὶ τὸν διεγηγερμένον τόνον ὀρθοτονούμεναι, τάχα συνωνυμοῦντος τοῦ ὀρθοῦ καὶ τοῦ

ὑγιοῦς· αἱ δὲ τὸν τόνον μετατιθεῖσαι, ὡςπερεὶ ἀπὸ τῶν ἐγκλινόντων τὰ βάρη ἐφ' ἕτερον σῶμα, ἐγκλιτικαί, εἴ γε τὸ

σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί

μετὰ τῆς ἐντελοῦς γραφῆς καὶ τὸν ἴδιον τόνον ἔχει, τὸ δὲ

καί μοι ταῦτ' ἀγόρευσον.

παρῆκε μὲν τὴν γραφήν, μετέθηκε δὲ καὶ τὸν τόνον. Παρέπεται καὶ ἀναφορὰ κατὰ τὸ τρίτον πρόσωπον, δι' ἧς τὰ προκατειλεγμένα ὀνόματα ἀναπολούμενα ἀντονομάζεται,

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν,

— αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ.

3 Ἐπεδείξαμεν ἐν τοῖς προεκδοθεῖσιν ὡς αἱ τοιαῦται τῶν ἀντωνυμιῶν οὐχ ὡς ἔτυχον ἀνθ' ἁπλῶν ὀνομάτων παρειλημμέναι εἰσίν, ἀλλὰ δυνάμει ἀντὶ τῶν μετὰ ἄρθρων παραλαμβανομένων. οὐ γὰρ μόνον ἀντωνόμαστα, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐστὶν ἀντωνυμιῶν ἐπινοῆσαι, ἀλλὰ καὶ ἀναφέρεται, ὅ περ οὐκ ὀνομάτων ἴδιον, εἰ μὴ προςλάβοιεν τὰ ἄρθρα. ἔστι καὶ οὕτω φάναι· δι' οὗ ἀντονομάζεται προκατειλεγμένου, διὰ τούτου ἐπιδέξεται τὴν ἀναφοράν, εἴ γε ἰδίωμα ἀναφορᾶς προκατειλεγμένου προςώπου δευτέρα γνῶσις, ἣν ἐπαγγέλλεται ἡ αὐτὸς ἀντωνυμία. δεδείξεται γὰρ ἐν τοῖς ἑξῆς
104 ὡς αἱ δεικτικαὶ οὐκ εἰρημένων τῶν ὀνομάτων

ἀνθυπηνέχθησαν, ἀλλ' οὐ δυναμένων παραλη-
φθῆναι. Καὶ οὕτω μερίζονται εἰς δεικτικὰς
καὶ ἀναφορικὰς εἰς μίαν ὀνόματίαν συναλθεῖ-
σαι· κατὰ γὰρ ἑκατέρας τὰς διαφορὰς ἓν συ-
νάγεται τὸ ἀντονομάζεσθαι. ἡ γὰρ μὴ δυνα-
μένων τῶν ὀνομάτων εἰρῆσθαι αὗται παραλαμ-
βάνονται, ἢ εἰρημένων μέν, πάλιν δὲ μὴ δυ-
νάμενων παραλαμβάνεσθαι. εἰ γάρ τις αὐτὶ
τοῦ

αὐτὸς δὲ πάλιν τρέπειν ὅσσε φαεινὼ
ἀντιθείη τὸ Ζεύς, οὐ συναλξει τοὺς δύο λόγους
κατὰ τοῦ Διός, ὡς ἀρχὴν δὲ λόγου ποιήσεται.
ὁ αὐτὸς δὲ λόγος ἐπὶ ἁπάντων τῶν οὕτω πα-
ραλαμβανομένων· παρὸν γὰρ αὐτὶ τῶν ἀναφο-
ρικῶν τὰ ὀνόματα θέσθαι καὶ τὰ τοῦ λόγου
ἀλλοιῶσαι. ὁπηνίκα μέντοι τὸ ἐκείνος καὶ τὸ οὗ-
τος οὐ δείκνυσι τὰ ὑπ' ὄψιν, ἀναφέρουσι δέ,
δεῖ νοεῖν ὅτι ἡ ἐκ τούτων δεῖξις ἐπὶ τὸν νοῦν
φέρεται, ὥστε τὰς μὲν τῆς ὄψεως εἶναι δείξεις,
τὰς δὲ τοῦ νοῦ. φύσει γοῦν οὖσαι δεικτικαὶ καὶ
τὸ ἀντικείμενον ἄρθρον τῇ συνταξει οὐ παρα-
λαμβάνουσι.

4 Καὶ ἔτι ἐξαιρέτως καὶ τὰ τρίτα πρόσωπα
ἐν διαφόροις φωναῖς διάφορα τρίτα ἀποστελοῦσι,
τῶν ῥημάτων διὰ μιᾶς φωνῆς ἐπὶ πλείονα πρόσ-
105 ωπα συντεινόντων, γράφει Διονύσιος ὁ Τρύ-
φων ἢ τις ἄλλος τῶν δυναμένων τὸ πρᾶγμα
παραδέξασθαι. οὐ μὴν ἐπὶ τῶν ἀντωνυμιῶν,

σὲ γε ἀναφορικὴ μὲν ἡ αὐτός, δεικτικὴ δὲ ἡ ἐκεῖνος καὶ ἔτι ἡ οὗτος, διαφέρουσα τῷ διαστήματι τῆς δείξεως· ὁ αὐτὸς λόγος καὶπὶ τῆς ὅδε.

Καίτοι ἔφαμεν τὰς δεικτικὰς ἐπιτείνεσθαι εἰς πλείονα δεῖξιν, αἱ δὲ προκείμεναι φωναὶ οὐκ ἠδύναντο τὸ δισσὸν τοῦ τόνου ἀναδέξασθαι, καθά περ ἡ ἐμοῦ καὶ ἐμοί καὶ αἱ σύζυγοι, διὰ τὴν ἐπὶ τέλους βαρεῖαν, εἰς παραγωγὴν τὴν διὰ τοῦ ι μετῆλθον, ἐπισπώμεναι κατὰ τοῦ τέλους τὴν ὀξεῖαν εἰς ἐμφανισμὸν τῆς πλείονος ἐπιτάσεως, καθά περ καὶ αἱ προκατειλεγμέναι κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον, ἐκεινοσί, οὑτοσί, ὁδί. προῦπτον γὰρ ὅτι στερομένη ἡ αὐτός τῆς δείξεως συνεστέρητο καὶ παραγωγῆς τῆς ἐπαγομένης ἐπὶ πλείονα δεῖξιν. Δοκεῖ δέ μοι μηδὲ ἀλλοτρίως ἡ παραγωγὴ τοῦ ῑ παραδεδέχθαι· ἦν γὰρ τοῦτο θεματικὸν ἐν τρίτοις προσώποις τῆς εὐθείας.

Πῶς οὖν οὐκ εὐήθεις οἱ περὶ Ἄβρωνα καταδραμόντες Ἀριστάρχου ὡς οὐ δεόντως φαμένου κατὰ πρόσωπα συζύγους τὰς ἀντωνυμίας, καθὸ κοινὸς ὁ ὅρος καὶ ῥημάτων, καὶ μᾶλλόν γε αὐτῶν. συζυγοῦσι γὰρ αἱ φωναὶ κατά τε ποιότητα τῶν στοιχείων καὶ κατὰ ποσότητα τῶν συλλαβῶν, καὶ φαίνεται ὅτι καὶ κατὰ χρόνον καὶ τάσιν· ταῖς γε μὴν ἀντωνυμίαις οὐ συνῆν τὸ τοιοῦτον, εἴ γε αἱ πλείους ἀσύζυγοι, ὡς σαφές ἐστι τοῖς κλίνουσι τὰς ἀντωνυμίας. Φαίνεται γὰρ ὅτι ὁ

μὲν Ἀρίσταρχος οὐ τὴν φωνὴν ὡρίσατο τῆς ἀντωνυμίας, ἀλλὰ τὸ ἐξ αὐτῆς παρυφιστάμενον, καθὼς καὶ ἅπαντες οἱ ὅροι ἔχουσι. φασὶ γοῦν ἀσυνάρθρους ἀντωνυμίας, καὶ ὅσοι ἐπὶ τῇ φωνῇ, οὐκ εἰσὶν ἀσύναρθροι, ἐπεί φαμεν ἡ ἐγὼ μόνως ὀρθοτονεῖται, ἡ ἔγωγε Ἀττική ἐστιν. ἐκεῖνο οὖν ἀντωνυμία, τὸ μετὰ δείξεως ἢ ἀναφορᾶς ἀντονομαζόμενον, ᾧ οὐ σύνεστι τὸ ἄρθρον. ἰδοὺ γοῦν ἡ δεῖξις καὶ ὁ ὁρισμὸς τῶν προσώπων ἄχρι τοῦ τρίτου διῆλθε· καὶ γὰρ ἀναφερόμεναι ὁρίζονται, καθὸ τὰ πρόσωπα ἐγνώσθη, καὶ δεικνύμεναι, καθὸ τὰ πρόσωπα ὑπ' ὄψιν ἐστί. καὶ τοῦτό ἐστιν ἡ συζυγία τῶν προσώπων. τὰ γὰρ ῥήματα ἀεύζυγα· ὁριζόμενα γὰρ κατὰ πρῶτον καὶ δεύτερον ἀοριστοῦται κατὰ τὸ τρίτον, τοῦ ἀστράπτει καὶ τῶν τοιούτων ὑποστελλομένων, καθὸ ἡ τοιαύτη ἐνέργεια ἐξαιρέτως τῷ Διὶ ἀναπέμπεται, ὥστε οὐ τὸ ῥῆμα ὥρισται, ὁ δὲ τούτου τὴν διάθεσιν ἐνεργῶν. πρόδηλος οὖν ἡ πολυμερὴς τῶν φωνῶν θέσις ὑπὲρ τοῦ διὰ μιᾶς φωνῆς διάφορα πρόσωπα λέγεσθαι· παρηκολούθησε γὰρ τὰ καὶ
107 τὰς ἐν τρίτοις ἀορίστους εἶναι, εἴ γε μία λέξις πλείονα σημαίνουσα ἀορίστου παρεμπτώσεως αἰτία γίνεται.

6 Ἔτι τὰ μὲν ἄλλα τῶν πτωτικῶν ἀπ' εὐθείας λημματιζόμενα γενικὴν καὶ τὰς ὑπολοίπους πτώσεις πρὸς ἀκολουθίαν τῆς εὐθείας

ἀποτελεῖ, οὐχ ὑποστελλομένου τοῦ ἄρθρου, εἴ γε καὶ αὐτὸ ἐδείχθη ἐν τῇ δευτέρᾳ ἀκολουθίᾳ κεκλιμένον· αἱ δὲ προκείμεναι πρωτότυποι ἀντωνυμίαι σχηματικώτερον ἐκλίθησαν, οὐ δυναμένης τῆς ἐγὼ κατὰ λόγον τῶν πτωτικῶν τὴν ἐμοῦ γενικὴν παραδέξασθαι, οὐδὲ μὴν τῆς ἐμοῦ τὴν ἐμοί ἢ ἐμέ, δεόντως καὶ τῶν παρεπομένων ἀριθμῶν ἐξαλλαγέντων πάλιν σχηματικῶς. ἀδύνατον γὰρ τὴν μὴ κλιθεῖσαν γενικὴν ἐξ εὐθείας ἀριθμὸν ἀκόλουθον παραστῆσαι κλιθεῖσα γὰρ συγκλίνει τοὺς ἀριθμοὺς καὶ τὰς ἕξεις πτώσεις, διὰ τοῦτο καὶ τοῖς ἑτεροκλίτοις παρακολούθει τις εὐθεῖα, τῆς γενικῆς τὰ λοιπὰ σχήματα ἀποδιδούσης, οἷον ἡ μεγάλου ἐποίησε τὸ μεγάλοι, καὶ ἐκ κλίματος τοῦ τοιούτου ἡ μεγάλος εὐθεῖα διασώζεται, καὶ ὁμοίως ἡ ὕδατος καὶ ἔτι ἡ γυναικός ἢ τε πολλοῦ· πολλοὶ γὰρ καὶ ὕδατα καὶ γυναῖκες, καὶ διὰ τοῦτο συνυπῆρχε τὸ πολλός, τὸ γύναιξ, τὸ ὕδας. διὰ τοῦτο οὖν ἡ ἐμοῦ οὐ κλιθεῖσα, γενομένη δὲ ἐν σχήματι, καὶ τὸ ἀκόλουθον τῶν πτώσεων παρητήσατο καὶ τοὺς ἀκολούθους ἀριθμούς· ἡ γοῦν ἐκεῖνος καὶ αἱ σύζυγοι κλιθεῖσαι ἔσχον καὶ τὰ συμπαρεπόμενα ἀκόλουθα. Σαφὲς οὖν ὅτι ληροῦσιν οἱ ἐγχειρήσαντες εἰς τὸ ἐπισκώπτειν τὰς φωνὰς ὡς ἀνακολούθους καὶ παραλόγους, παρατιθέμενοι τὴν ἀπὸ τῶν ὀνομά-

των ἀναλογίαν, ὅπου οὐδ' ἐκεῖνο αὐτοῖς δέδοται, τὸ παντὶ ὀνόματι πᾶν ἀντιπαραβάλλειν. ἀλλ' εἰς τὸ τοιοῦτον ἄπειρός ἐστί τις τοῦ ὁμοίου ἀκολουθία. ἀντιπαραβάλλονται γὰρ αἱ λέξεις, καὶ εἰ τοῦτο, πῶς οὐ μάταιον τὸ διάφορα μέρη λόγου ἀντιπαραβάλλειν; οὐδὲν δὲ ἐκώλυεν, ἐπειδὴ καὶ προσώπων διακριτικόν ἐστι τὸ μόριον, ἀντιπαραθέσθαι τὰς φωνὰς τῶν ῥημάτων, καὶ οὕτω πάλιν τὰς ἀντωνυμίας ταῦ δέοντος περιγράφειν.

Ἴσως οὖν ἐκείνῳ τις ἐπιστήσει, ἕνεκα τίνος τὸ ἀκόλουθον ἀπένευσαν αἱ ἀντωνυμίαι, καὶ διὰ τί οὐ πᾶσαι. Ἢ τῶν ὀνομάτων θέσις ἐπενοήθη εἰς ποιότητας κοινὰς ἢ ἰδίας, ὡς ἄνθρωπος, Πλάτων, καὶ ἐπεὶ οὔτε συνδείξει τὰ τοιαῦτα οὔτε ἀναφορᾷ, πάμπολλος ἡ ἐπὶ τούτων θέσις ἐγίνετο, ἵν' ἑκάστου τὸ χαρακτηριστικὸν ἀπονείμῃ τὴν ἑκάστου ποιότητα. οὐ μετρίως γοῦν τὰς ποιότητας ἐπιταράττουσιν αἱ συνεμπεσοῦσαι θέσεις ἔν τε προσηγορικοῖς καὶ κυρίοις ὀνόμασι· διὸ καὶ ἐστέρητο τὸ διὰ τῶν ὀνομάτων νοούμενον πρόσωπον τοῦ ὁρισμοῦ. καὶ ἕνεκα τοῦ τοιούτου ἰδιάσασα ἡ εὐθεῖα καθ' ἕκαστον χαρακτῆρα, ἀπῄτει τὰς πλαγίας ἀνηκούσας πρὸς τὸ ἴδιον τῆς εὐθείας. ἐντεῦθεν οὖν ἀναγκαίως καὶ τὰ γένη παρείσαγεται, ἵνα μετὰ τῆς ποιότητος τοῦ χαρακτῆρος συνδιαστείλῃ τὸ γένος. ἐντεῦθεν συνεπενοήθησαν καὶ αἱ ἐπιθετικαὶ θέσεις, ἵνα καὶ τὰ παρακολου-

θήσαντα ταῖς κοινῶς ἢ ἰδίως νοουμένοις ἀνα-
πληρωθῇ, τῷ μὲν ἵππος, εἰ τύχοι, τὸ λευ-
κός ἢ τὸ ταχύς, τῷ δὲ Πλάτων τὸ σοφός,
τὸ ἀγαθός, ἄλλα τε πάμπολλα τὰ δυνάμε-
να παρέπεσθαι, ἐντεῦθεν καὶ αἱ συνθέσεις ἐπε- 5.
νοήθησαν, μισάνθρωπος, φερέπονος, φιλολό-
γος, αἵ περ ἐξ ἐπισυμβεβηκότων ἐνεγήνοντο.
Αἱ μέντοι ἀντωνυμίαι εἰς οὐδὲν ἄλλο ἀποβλέ-
πουσαι διὰ τῆς ἐν αὐταῖς ἐγκειμένης δείξεως
ἢ εἰς τὴν ὑποκειμένην οὐσίαν, ἔχουσιν εὐλήπτα 10
καὶ τὰ ἐπισυμβεβηκότα τῇ ποιότητι, λέγω τὰ
δυνάμενα δι' ὄψεως ἐπινοηθῆναι, λευκὸν ἢ μέ-
λαν, μακρὸν ἢ βραχύ· οὐχ ὑπὸ δεῖξιν γὰρ
πίπτούσης τῆς ψυχῆς οὐδὲ τὰ ταύτῃ ἐπιτρέ-
χοντα εὐσύνοπτα ἂν γένοιτο πρὸς τῶν ἀντω- 15
νυμιῶν. ἔνθεν τοὺς πολλοὺς χαρακτῆρας παρη-
πημέναι εἰσὶν αἱ ἀντωνυμίαι. ἑκάστη γὰρ αὐ-
τῶν καθ' ἑκάστην πτῶσιν ἀντὶ πάντων ὀνομά-
των παραλαμβάνεται· καὶ εἰ τοῦτο ἀληθές,
φυσικώτερον ἄρα ἀφέστηκεν ἢ ἐν ταῖς ἐνόμασιν 20
ἀκόλουθος κλίσις, ἵνα μὴ ἀντὶ παντὸς ἐνόμα-
τος παραλαμβανόμεναι μιᾷ καταλήξει τῇ ἐκ
τούτων ὑποπέσωσι, διὸ καὶ τὰ γένη οὐκ ἐκ-
κοπτόμενα ἰδίοις τέλεσι καταλληλον ἔσχε
τὴν ἐν τοῖς φρισὶ γένεσι θέσιν διὰ μιᾶς συλλα- 25
βῆς, εἴ γε καὶ ἡ ἐξ αὐτῶν δεῖξις αὐτὸ μόνον
οὐσίαν παρεμφαίνει· καὶ γὰρ εἰ συνεμπέσοι λῆ-
ξις ὀνοματικὴ αὐτῇ, διὰ τοῦ συνόντος ἀριθμοῦ

ὑπεκλύεται τοῦ ἀκολούθου τῆς ἐγγινομένης κλίσεως, ὡς ἔχει ἡ ἐγώ καὶ ἡ ἐμοῦ. ἐφ' ἧς καὶ αἱ διάλεκτοι. οὐ τὴν αὐτὴν λῆξιν ἐπεμέτρησαν, ἄλλως τὰς φωνὰς προενεγκάμεναι ἢ περ τὰς γενικὰς τῶν ὀνομάτων· ἐμεῖο γὰρ καὶ ἐμεῦ, οὐχ ὡς ἡ Ἀτρείδεω καὶ ἡ Ἀτρείδαο ἢ καλοῖο. ἡ γοῦν ὁμόφωνος κτητικὴ ὀνόματος ἤδη τὸ τέλος ἀναδεδεγμένη, ἐφ' ᾧ καὶ φέρεται, πάλιν τὸ δέον ἀνεδέξατο κατὰ τὰς διαλέκτους, ἐμοῖο ὡς καλοῖο.

Καθὼς πρόκειται οὖν, ἀναφερόμεναι ἢ δεικνύμεναι ἀπροσδεεῖς εἰσὶ τῶν παρεπομένων τῷ ὀνόματι. ἀλλὰ ἀντίκειται ἥ τε ἐκεῖνος καὶ ἡ αὐτός· ἡ γὰρ οὗτος παραγωγῆς κατάληξιν ἔχει, οὐκ ἀντωνυμίας, καθὸ
111 καὶ τὸ τημοῦτος ἐπίρρημα ἓν παραγωγῆς τῆς αὐτῆς ἔτυχε. καὶ οὐκ ἀπεμφαῖνον δύο ἀντικεῖσθαι ἑπασῶν τὸ δέον σχῆμα ἀναδεδεγμένων. μή ποτε δὲ εὐλόγως καὶ διὰ τῆς φωνῆς συνεπίσχυσαν ὁρίσαι τὸ ὑποκείμενον. ἡ γὰρ ἐξ αὐτῶν νοουμένη ἀπόστασις ἀμαυροτέραν τὴν δεῖξιν καθιστάνει, καὶ ἔνθεν παρεισεδύετο τὸ γένος, οὐχ ἵνα τὴν οὐσίαν παραστήσῃ, ἀλλ' ἵνα τὸ γένος διαστείλῃ. τὰ γοῦν κοινὰ λεγόμενα ἐν γένει, λέγω ἐπὶ τῶν προσηγορικῶν, ἐξ ἀποστήματος ἐπινοηθέντα οὐκ ἐξίσχυσε τὸ γένος διαστεῖλαι, λέγω ἐπὶ τοῦ ἵππος ἢ ἄνθρωπος· πλησιάσασι δὲ αὐτοῖς καὶ δήλοις γενομένοις κατὰ τὸ γένος συνεγένετο καὶ τὸ ἄρθρον. πολλῷ

δὲ μᾶλλον καὶ ἡ αὐτός· τὰ γὰρ ἀπόντα τῶν τρίτων προσώπων ἀναφέρουσα ὑπόμνησιν καὶ τοῦ γένους ἐποιεῖτο διὰ τοῦ χαρακτῆρος. Ἀλλ' ἐκεῖνο λείπεται, τίνος ἕνεκα εἰς ος κατέληξαν, πλείστης οὔσης καταλήξεως ὀνομάτων; ἢ ὅτι γενικωτέρα ἐστὶν ἡ εἰς ος κατάληξις; διὰ τοῦτο καὶ τὰ ἄρθρα, πᾶσιν ὀνόμασι παρατιθέμενα, ἐν ταύτῃ τῇ καταλήξει ἐγένετο, καὶ αὐταὶ αἱ παραχθεῖσαι ἀντωνυμίαι εἰς ὀνόματος κτῆσιν, ὡς ἐπὶ τῆς ἐμός καὶ τῶν συζύγων, καὶ σχεδὸν ἅπασαι αἱ πτωτικαὶ πεύσεις, ἐπιζητοῦσαι πᾶν ὄνομα, ποῖος, πόσος, πηλίκος, ποδαπός, πρόκειται τὸ σχεδόν διὰ τὸ τίς, ὃ περ οὐδὲ αὐτὸ ἐκτός ἐστι τῆς εἰς ος καταλήξεως, εἴ γε τὸ τίοις παρ' Αἰολεῦσι τῆς εἰς ος εὐθείας ἔτυχε, συνεπισχύοντος καὶ τοῦ ἰσοδυναμοῦντος αὐτῷ, λέγω τοῦ ὅς, ᾧ καὶ συμφέρεται ἐν τῷ

ὅς τις ἐμὸν παρὰ σῆμα

καὶ ὡς ἐν τῷ

ὅς τις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται.

8 Ῥητέον δὲ καὶ περὶ τῶν τῇ φωνῇ ἄρθρων καθεστώτων, τῇ δὲ ἐξ αὐτῶν μεταλήψει ἀντωνυμιῶν,

ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν

ἀντὶ τοῦ οὗτος·

τὸν δ' ἀπαμειβόμενος·

ὡς ἡ ῥίμφα θέουσα·

εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν,
ὃ μεταλαμβάνεται μὲν εἰς τὸ ταύτης, προσ-
λαμβάνει δὲ ἔξωθεν δεόντως τὸ ἄρθρον. καὶ
καθόλου περὶ ἁπάντων τῶν τοιούτων, αἱ ὀνο-
μαστικαὶ πτώσεις καὶ αἱ ἀντὶ τούτων παρα-
λαμβανόμεναι ἀντωνυμίαι σύνταξιν τὴν αὐτὴν
ποιοῦνται τοῖς ῥήμασιν, ὡς ἔχει τὸ Τρύφων
διδάσκει καὶ οὗτος διδάσκει· αἵ γε μὴν
πλάγιαι τὴν ἐκ τῶν εὐθειῶν σύνταξιν ἀναδέ-
χονται, τῶν μεταξὺ πιπτόντων ῥημάτων ἐν-
δεικνυμένων τὴν ἑκάστης διάθεσιν, ὡς ἔχει τὸ
Θέωνα διδάσκει Τρύφων, τοῦτον φιλῶ
ἐγώ, τοῦτον φιλεῖ Θέων. ἔστι γε μὴν κἀ-
κεῖνος ὁ λόγος ἀληθής, ὡς σύνεστι τὰ ἄρθρα
μετὰ τῶν ὀνομάτων ἀνθ' ὧν παραλαμβάνεται
ἡ ἀντωνυμία, οὐ σημαίνοντα τὰς πηλικότητας
113 ἢ ποιότητας ἤ τι τῶν παρεπομένων τοῖς ὀνό-
μασι, καθὸ ἀπεδείξαμεν καὶ ἐπὶ τῶν ἀντω-
νυμιῶν τὸ αὐτό· ὡς γὰρ τὸ οὗτος κατὰ παν-
τὸς ὑποκειμένου παραλαμβάνεται, καὶ τὰ ἄρ-
θρα σὺν παντὶ ὑποκειμένῳ παραλαμβάνεται,
ὁ μέγας, ὁ βραχύς, ὁ λευκός, ὁ χρυσοῦς. καὶ
τούτων τῇδε ἐχόντων, ὅταν τὸ ἄρθρον μὴ μετ' ὀ-
νόματος παραλαμβάνηται, ποιήσηται δὲ σύν-
ταξιν ὀνόματος ἣν προεκτεθείμεθα, ἐκ πάσης
ἀνάγκης εἰς ἀντωνυμίαν μεταληφθήσεται, εἴ
γε οὐκ ἐγγινόμενον μετ' ὀνόματος δυνάμει ἀντὶ
ὀνόματος παρελήφθη· καὶ ἐντεῦθεν ἡ σύνταξις

αὐτοῦ παρεχώρει εἰς ἀντωνυμικὴν μετάληψιν. ἔστω γάρ τι τοιοῦτον, Χρύσης γὰρ ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν, καὶ ἔτι μετὰ τοῦ ἄρθρου ὁ γὰρ Χρύσης ἦλθε θοὰς ἐπὶ νῆας Ἀχαιῶν· καὶ σαφὲς ὅτι ἡ ἔλλειψις τοῦ ὀνόματος τῷ ἄρθρῳ παραδώσει τὰ τῆς συντάξεως, καὶ οὐκ ἄλλο τι γενήσεται τὸ ἄρθρον ἢ ἀντωνυμία, ἥ ἐστιν ἀντὶ παντὸς ὀνόματος, ἐπεὶ καὶ αὐτό μεταὶ παντὸς ὀνόματος οὐκ ἐμποδιζόμενον ἐν ποιότητι ἢ ἄλλῳ τινὶ τῶν παρεπομένων, καθὼς εἴπομεν. ἐν μέντοι τοῖς ἑξῆς δεδείξεται, πότε οἱ λόγοι τὰ ὀνόματα παραιτοῦνται ἀντιπαραδεχόμενοι τὰς ἀντωνυμίας. Καὶ ἡ μὲν τοιαύτη σύνταξις προϋφεστώτων ὀνομάτων, καθ' ὧν ἀναφέρεται τὰ ἄρθρα, ποιεῖται μετάληψιν· ἡ μέντοι μὴ οὕτως ἔχουσα,
114 αὐτόθεν δὲ ἐν προλήψει τοῦ ἐσομένου προσώπου παραλαμβανομένη, ἀόριστον μετάληψιν τῶν ἄρθρων ποιεῖται, ὡς τὰ τοιαῦτα ἔχει, ὁ περιπατῶν κινεῖται, καὶ ἔτι ἐν ὑποτακτικοῖς ὃς ἂν παραγένηται ἀναγινωσκέτω, πάνυ εὐλόγως· συμφερόμενον γὰρ παντὶ ὀνόματι καὶ ἐπὶ πᾶν ὄνομα ἀναδραμεῖται ἐγκαθεστικός, ὃ περ ἴδιον ἀορίστου. ὑγιῶς ἄρα τὰ ἄρθρα ἢ εἰς ὡρισμένα πρόσωπα παραλαμβάνεται, τὰς ἀντωνυμίας, ἢ εἰς τὸ ἀοριστότατον, λέγω τὸ τίς· οὐ γὰρ πάρρω πέπτωκε τὸ ὁ περιπατῶν κινεῖται τοῦ εἴ τις περιπατεῖ

κινεῖται, οὐδὲ τὸ ὃς ἂν ἔλθῃ τοῦ εἴ τις ἔλθοι. εἰ γοῦν συνενεχθείη τι τῶν ὀνομάτων ταῖς προκειμέναις συντάξεσι, καὶ αὐτὰ καταστήσεται εἰς τὸν ἴδιον μερισμόν· ὁ Διονύσιος περιπατῶν κινεῖται· Τρύφων κοιμᾶται, ὃς μένει με διαναστάς. δεόντως δ' ἂν καὶ ἀντωνυμίαι ῥηθεῖεν κατὰ τοὺς μερισμούς, καθότι καὶ ἄλλα μέρη λόγου, πάλιν μετατεθέντα τῆς ἰδίας συντάξεως καὶ ἄλλων ἀναπληρώσαντα τὰς ἰδιότητας, πάλιν τῆς τούτων ὀνομασίας ἔτυχεν, ὡς ἔχει ἅπαντα τὰ ὀνοματικὰ ἐπιῤῥήματα, πυκνά, κάλλιστα, ἥδιστα, ἰδίᾳ, δημοσίᾳ, τόνῳ, κύκλῳ, καὶ ὅτε αἱ μετοχαὶ εἰς ὀνομάτων σύνταξιν παραλαμβάνονται, ὡς τὸ ἐρωμένη, εἱμαρμένη· ἐφ' ὧν χρὴ αὐτὸ μόνον τὴν μετάπτωσιν διδάσκειν. οὐ γὰρ μᾶλλον αἱ φωναὶ ἐπικρατοῦσι κατὰ τοὺς μερισμοὺς ὡς τὰ ἐξ αὐτῶν σημαινόμενα.

115 Ὁμολόγως γοῦν καὶ ἡ οὗτος, παραχθεῖσα ἐξ ἄρθρου τοῦ ὅς, σημαίνοντος οὐκ ἀρθρικὴν σύνταξιν ἀλλ' ἀντωνυμικήν, εἰς τὰς ἀντωνυμίας ἐχώρησεν. οὐ γὰρ θεματική ἐστιν, ὥς τινες ᾠήθησαν· σαφὲς ἐκ τῶν παρεπομένων. ἀπὸ παντὸς ἀρσενικοῦ πρωτοτύπου ἡ παραγώγου τοῦ εἰς ος λήγοντος θηλυκὸν γίνεται τοῦ τέλους εἰς η ἢ εἰς α μακρὸν μεταπίπτοντος, ὅτι μὴ μόνον ἐκ τῆς προκειμένης παραγωγῆς· ἡ γὰρ τοιαύτη παραγωγὴ ὑποστρέφει εἰς τὸ

πρωτότυπον κατὰ γένος, τηλίκος τηλικοῦτος· τηλίκη τηλικαύτη, καὶ ἔτι ἐπὶ οὐδετέρων· ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ τοσοῦτος, τοιοῦτος. ὃ περ παρηκολούθει καὶ τῇ ὅς-οὗτος, καὶ οὐκέτι τὸ θηλυκὸν οὕτη, ἀλλὰ πάλιν παρὰ τὸ ἥ αὕτη. καὶ ἐπεὶ τὸ οὐδέτερον, λέγω τὸ τό, ἀπὸ τοῦ τ' ἤρχετο, καὶ τὸ τοῦτο ἀπὸ τοῦ τ' ἤρξατο. καὶ κατὰ πτῶσιν δὲ παράγεται. οὐ γὰρ ἀπὸ τοῦ τηλικαῦται γενικὴν φαμεν τὴν τηλικαύτων ἢ ἀπὸ τοῦ τοιαῦται τοιαύτων, καθὸ ἔστιν ἐπινοῆσαι ἐπὶ ἁπάντων θηλυκῶν· αὐταί γοῦν αὐτῶν φαμέν, καὶ ἔτι ἀπὸ τοῦ ἀνεπεκτάτου τοῖαι τοίων, τηλίκαι τηλίκων. καὶ σαφὲς ὅτι παρὰ μὲν τὸ τηλίκαι τὸ τηλικαῦται, παρὰ δὲ τὸ τηλίκων τὸ τηλικούτων. ταὐτὸν οὖν παρηκολούθει καὶ ἐπὶ τοῦ αἱ-αὗται, καὶ ἐπεὶ εἶχετο παραγωγῆς τῆς προκειμένης, οὐκέτι αὐτῶν, καθὼς ἐπὶ τοῦ ὀξυτόνου πρόκειται αὐταί αὐτῶν. πάλιν οὖν τὸ τούτων ἔπιπτεν ἀπὸ γενικῆς πρωτοτύπου τῆς τῶν, τοῦ τ' συμπαραλαμβανομένου, ὃ περ ἐπὶ τῆς εὐθείας οὐδὲν συμπαρελαμβάνετο, ἐπὶ δὲ τῆς γενικῆς· αἱ γὰρ καὶ τῶν. Τῇ προκειμενῃ παραγωγῇ συνυπάρχει ἑτέρα παραγωγὴ ἡ διὰ τοῦ δε, οὖσα συνηθεστέρα ποιηταῖς, τοῖος τοιόσδε, τόσος τοσόσδε, ἧς τὸ μεταλαμβανόμενον εἰς παραγωγὴν τὴν διὰ τοῦ

ουτος ἐγχωρεῖ, τοιόνδε τοιοῦτον, τοσόνδε τοσοῦτον. ἔστιν οὖν καὶ τὸ ὅδε, μεταλαμβανόμε-

νον εἰς τὸ οὗτος, ἐκ συντάξεως τῆς διὰ τοῦ ὁ παραχθέν. Οὐ χρὴ ἄρα συγκατατίθεσθαι Ἄβρωνι ὅτι ἡ οὗτος παρῆκται ἐξ ἄρθρου, καθότι καὶ ἐξ ἐπιῤῥήματος τοῦ ἀψε ἄλλο μέρος λόγου γέγονε τὸ ὄψιμος. ἐν μὲν γὰρ ταῖς ἄλλαις παραγωγαῖς ἀδιαφορεῖ τὸ τοιοῦτον, εἴ γε μὴν τῇ προκειμένῃ ἀδύνατόν ἐστιν εἰς ἄλλο μέρος λόγου ἐγχωρῆσαι τὸ πρωτότυπον, ὅπου γε ἐδείχθη οὐ μόνον τὸ αὐτὸ μέρος λόγου αἰτοῦν ἀλλὰ καὶ ταὐτὸ γένος καὶ τὴν αὐτὴν πτῶσιν καὶ τὸν αὐτὸν ἀριθμόν. δεόντως οὖν φαμὲν ὡς ἐκ τῆς ἀντωνυμικῆς συντάξεως τοῦ ἄρθρου ἡ παραγωγὴ ἐγένετο, καὶ ὡς ποιητικὸν μὲν τὸ φάναι τηλίκος τοῖος, σύνηθες δὲ τὸ τηλικοῦτος τοιοῦτος, τὸν αὐτὸν τρόπον ποιητικὸν τὸ ὅς,

ὅς γάῤ ῥα μάλιστα
ἥνδανε κηρύκων,

σύνηθες δὲ τὸ ἐξ αὐτοῦ μεταλαμβανόμενον,
[117] οὗτος γάρ. κἀκεῖνο δὲ προσθετέον, ὡς ἐνέλειψεν ἡ εὐθεῖα τῷ τ, καθὼς ἐπεδείξαμεν κἀν τῷ περὶ ἄρθρων. πάλιν οἱ Δωριεῖς οὐκ ἐπλεόνασαν ἐν τῷ ταῦται καὶ τοῦτοι, ἀλλ' ἀπέδωκαν τὸ προοφειλόμενον, ὡς δέδεικται καὶ ἐπὶ τῶν ἄρθρων. ὁμολογοῦσι καὶ αἱ πλάγιοι ἀπὸ τοῦ τ ἀρξάμεναι καὶ τοῦ οὐδετέρου ἡ εὐθεῖα καὶ τὸ κατὰ τὴν εὐθεῖαν πνεῦμα. πότε γὰρ ἡ ὀῦ δίφθογγος δασύνεται, ὅπου γε καὶ τὰ δασυνό-

μενα ἐγγινομένης αὐτῆς ψιλὰ γίνεται, ὄλος οὖλος, ὄρος οὖρος; δασύνεται δὲ τὸ οὕνεκα διὰ τὸ τούνεκα. οὐκ ἂν οὖν ἄλλως δασυνθείη τὸ οὗτοι, εἰ μὴ λάβοι ἀπολογίαν τὴν ἔλλειψιν τοῦ τ'.

9 Τὴν τῶν ὀνομάτων σύνταξιν ἀνθυπῆλθον αἱ ἀντωνυμίαι οὐχ ὥς τινες ᾠήθησαν, δι' ἄγνοιαν τῶν ὀνομάτων· ποία γὰρ ἄγνοια τῶν ὀνομάτων ἐν τῷ

σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί;

ἀλλὰ σαφὲς ὅτι οὐ δυναμένων τῶν ὀνομάτων ἐν τοῖς πρώτοις καὶ δευτέροις προσώποις καταγίνεσθαι, καθὼς δεδείξεται. Φήσει τις, οὐχὶ οὖν καὶ ἀγνοίας οὔσης ὀνομάτων φαμὲν σύ ἢ σέ; Πρὸς ὃ ῥητέον ὅτι ἐκ παρεπομένου τὸ τοιοῦτον ἐγένετο, εἴ γε καὶ ἐν γνώσει ὄντα τὰ ὀνόματα· πάλιν ἀπαιτεῖ τὴν ἀντωνυμικὴν σύνταξιν. οὐκ ἔλαττον δὲ καὶ οὕτως ἀνθυπέστη τοῦ ὀνόμα-
118 τος· καὶ γὰρ δυνάμει κύριον ὄνομα νοεῖται διὰ τῆς ἀντωνυμίας, οὐ φημι τὸ τῆς φωνῆς ὄνομα, τὸ δὲ ἐξ αὐτῆς δεικνύμενον, τουτέστιν ἡ ἰδία ποιότης τοῦ ὑποκειμένου. ἕνεκεν τούτου πρὸς οὐδὲν χρειώδεις εἰσὶν αἱ ἀντωνυμίαι στερούμεναι τοῦ τε δεικνύντος προσώπου καὶ τοῦ δεικνυμένου, εἴ γε αἱ ἐγγραφόμεναι πάνυ ἀοριστόταταί εἰσιν, ὅτι καὶ τῆς ἰδίας ὕλης ἀπεώσθησαν.

Ἔνθεν δοκεῖ μοί πάνυ εὐλόγως κατὰ τὰς ἐντελι-

τελικὰς γραφὰς χωρὶς τῶν προστεθειμένων ὀνομάτων τὰ τοῦ λόγου μὴ καθίστασθαι. ἐγγραφομένων γὰρ τῶν ἀντωνυμιῶν, διὰ τὰς ἐπισυμβεβηκυίας πράξεις τῷ τε ἀποφαινομένῳ προσώπῳ ὑπὲρ αὐτοῦ καὶ τῷ πρὸς ὃν ἡ ἀπόστασις τοῦ λόγου, ἀναγκαίως συμβαίνει τὸ γράφεσθαι τὴν τῶν ὀνομάτων θέσιν, ἵνα δυνάμει κατὰ τούτων τὰς δείξεις ποιήσωνται αἱ ἀντωνυμίαι. τὸ γὰρ ἐγώ σοι καὶ πάλαι ἔγραψα δείκνυσι διὰ μὲν τῆς ἐγὼ τὴν προκειμένην εὐθεῖαν, διὰ δὲ τῆς σοὶ τὴν ἀνθυπαγομένην δοτικήν. πρόδηλον γὰρ ὅτι τῶν ὀνομάτων περιγραφέντων καὶ τὰ τῶν ἀντωνυμιῶν ὁρίστα γίνεται.

Ἔστιν οὖν αἴτιον τοῦ μὴ δύνασθαι τὰ ὀνόματα παραλαμβάνεσθαι κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον τὸ τὰς θέσεις τῶν ὀνομάτων μήτε ἐν πρώτῳ μήτε ἐν δευτέρῳ προσώπῳ δύνασθαι καταγίνεσθαι. οὐ γὰρ πρὸς τοὺς γενομένους ἡ ἀπόστασις γίνεται τοῦ ὀνόματος ὑπὲρ τῆς αὐτῶν θέσεως, ὃ περ ἴδιον δευτέρου προσώπου· οὔτε μὴν ἑαυτοῖς τιθέμεθα, ὃ περ ἴδιον πάλιν τοῦ πρώτου προσώπου. ἀνάγκη οὖν πᾶσα εἰς τὰ τρίτα πρόσωπα χωρεῖν τὰ ὀνόματα κατὰ πᾶσαν πτῶσιν χωρὶς κλητικῆς· αὕτη γὰρ πρώτῃ ἐπιστρέφει τὴν ἐκ τῶν τρίτων προσώπων θέσιν εἰς τὸ δεύτερον διὰ τὴν ἐξ αὐτῆς γινομένην ἀντίληψιν τοῦ ἀναδεξαμένου πρόσωπου τὸ

ὄνομα. προφανὲς δὲ κἀκεῖνό ἐστιν, ὡς ἐξ αὐτῶν ποιούμενοι τοὺς λόγους πρός τινας ὀφείλομεν ἀναμερίσαι τὰ πρόσωπα. καὶ φαίνεται ὡς οὐκ ἐνὸν ταῖς ὀνόμασι συγχρῆσθαι, καθότι τρίτα ἦν ταῦτα, ὁ δὲ λόγος ἀπῄτει τὸ ἐκ πρώτου προσώπου δεύτερον. καὶ ἔνθεν παρειςέδυον αἱ ἀντωνυμίαι τὸ ἀδύνατον τοῦ ὀνόματος ἀνταναπληροῦσαι, ἡνίκα φαμὲν ἐγώ σοι ἔγραψα. προείρηταί γε μὴν ἡ αἰτία τοῦ μίαν οὖσαν τὴν ἀντωνυμίαν ἀντὶ πάντων ὀνομάτων παραλαμβάνεσθαι. Οὐκ ἂν οὖν τις ὑπολάβοι ὡς πρὸς οὐδὲν χρειώδεις αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι, δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι; καὶ γὰρ εἰ ἐνεχώρει κατὰ πρῶτον καὶ δεύτερον πρόσωπον παραλαμβάνεσθαι τὰ ὀνόματα, ἴσως ἂν ἐγένετο μηδὲ τὴν ἀντωνυμίαν προςηυρῆσθαι. ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτον φάναι. αἱ ἀντωνυμίαι ἅπαξ ἀντὶ ὀνομάτων γενόμεναι ἐκ παρεπομένου ἔσχον καὶ τὴν δεῖξιν· ὑπ' ὄψιν γὰρ πίπτοντα τὰ ἐξ αὐτῶν πρόσωπα ἐωρᾶτο, καὶ οὕτω
120 τὸ μόριον ἐξαιρέτως ἀπηνέγκατο τὴν δεῖξιν, ἥ τις συνῳδεύσε κατὰ συζυγίαν τοῦ πρώτου καὶ δευτέρου προσώπου ἄχρι τοῦ τρίτου. οὐ καθὸ οὖν τὰ ὀνόματα ἀνέφικτα ἐν τρίτοις προσώποις, ἐγένοντο αἱ ἀντωνυμίαι, ἀλλὰ καθὸ ἀμοιρεῖ δείξεως, ἥ τίς ἐστιν ἐν ἀντωνυμίαις. σύνεστ γοῦν ἀμφότερα ἐν τῷ

οὗτος δ' Αἴας ἐστὶ πλωΐριος,
πάνυ ἀναγκαίως· ἕνεκα γὰρ τοῦ ὁρᾶσθαι τὸν
Αἴαντα ἡ δεῖξις παρείληπται, ἕνεκα δὲ τῆς
ἰδίας ποιότητος, ὑπὲρ ἧς καὶ ἠρώτησε, τὸ
Αἴας.

11 Τούτων οὖν τῇδε ἐχόντων σαφὲς ὅτι τὸ Ἀπολλώνιος γράφω καὶ τὰ τούτοις ὅμοια προφανῶς ἀκαταλληλα, καὶ οὐ δι' ἄλλο τι ἢ διὰ τὴν τῶν προσώπων ἀκαταλληλότητα, εἴ γε τρίτου μὲν προσώπου τὸ ὄνομα, πρώτου δὲ τὸ ῥῆμα· κατάλληλον δὲ τὸ ἐν δυσὶ τρίτοις Ἀπολλώνιος γράφει. ἀλλ' οὐκ ἐν τῷ καθόλου πάλιν τὸ τοιοῦτο. τὰ γὰρ ὕπαρξιν ἢ ἰδίας ποιότητος θέσιν σημαίνοντα τῶν ῥημάτων προσίενται τὸ δοκοῦν ἀκατάλληλον, εἰμὶ Ὀδυσσεύς, Τρύφων ὀνομάζομαι καὶ τὰ τούτοις σύζυγα. πάλιν γὰρ οὐκ ἐγχωρεῖ τὴν ἰδίαν θέσιν κοινῇ φωνῇ προσχαρίσασθαι ἐπὶ πᾶν συντεινούσῃ, εἰ φαίημεν ἐγὼ ὀνομάζομαι, ἐγὼ κλητίζομαι. καὶ σαφές ἐστιν ὅτι τὸ ἐγώ εἰμι ἐνε-
121 χώρει ἐγγίνεσθαι· ὕπαρξιν γάρ, οὐκ ἰδίας ποιότητος θέσιν ἐσήμαινε, κοινὴν δέ, ἐφ' ἣν συντείνει τὸ ἐγώ. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἑξῆς προσώπων. σαφὲς οὖν ὅτι οὐ δυνάμενα διαψεύσασθαι τὴν ἰδίαν θέσιν τῶν ὀνομάτων τὰ ῥήματα ἐπισπᾶται αὐτὰ ἐκ τρίτου κατὰ τὸ πρῶτον, ὅτε φαμὲν Τρύφων ὀνομάζομαι, οὐ μὴν ἐν τῷ Τρύφων βιάζομαι. τὸ γὰρ βιά-

ζεσθαι οὐκ ἴδιον ἦν Τρύφωνος, καθάπερ ἡ ἐπ' αὐτοῦ ὀνομασία· διὸ καὶ τὴν καινὴν κατὰ παντὸς ὀνόματος ἀντωνυμίαν παραλαμβάνει.

12 Ἐξῆς ῥητέον καὶ περὶ συντάξεως τῆς τῶν ἀντωνυμιῶν πρὸς τὰ ῥήματα. Αἱ πλάγιοι πτώσεις τῶν ἀντωνυμιῶν πάντως ἐπὶ ῥῆμα φέρονται, ἐξ ἧς συντάξεως νοεῖται ἡ ἐγγινομένη διάθεσις τοῦ προσώπου· οὐ μὴν ἀντιστρέφει τὰ τοῦ λόγου· οὐ γὰρ ἅπαντα τὰ ῥήματα πλαγίους ἀπαιτεῖ ὀνομάτων ἢ ἀντωνυμιῶν, ἐπεὶ ἃ μὲν αὐτῶν αὐτοτελῆ ἐστίν, ἃ δὲ ἐλλιπῆ· τό τε γὰρ περιπατεῖ ἢ πλουτεῖ ἢ ζῇ ἤ τι τῶν τοιούτων οὐκ ἐπιζητεῖ πλαγίαν πτῶσιν, περὶ ὧν καὶ ἐντελῆ τὸν λόγον παραστήσομεν ἐν τῇ κατ' ἰδίαν αὐτῶν συντάξει. Οὐ λέληθε δέ με ὡς οἱ πλεῖστοι ὑπέλαβον τὴν τῶν ῥημάτων σύνταξιν ἐντελεστέραν εἶναι, εἰ προσλάβοι καὶ τὰς ἀντωνυμίας, ἐγὼ ἔγραψα, ἐγὼ λαλῶ, καὶ ἐπὶ τῶν ὁμοίων τὸ αὐτό· καὶ
122 τούτου ἀποδείξιν φασι τὸ μὴ δεόντως ἔχειν τὴν τοιαύτην φράσιν, εἰ μὴ προσλάβοι τις τὰς ἀντωνυμίας, ἐγὼ μὲν γὰρ παρεγενόμην, σὺ δ' οὔ· ἀκατάστατα τὰ τοῦ λόγου γενήσεται. ἐγὼ μέντοι οὐχ ὑπολαμβάνω ἐν τῷ καθόλου τὸ τοιοῦτον ἀληθὲς εἶναι, πιστούμενος οὐκ ἐκ ποιητικῶν παραθέσεων, εἴ γε τῇ ποιητικῇ συντάξει ἐφεῖται καὶ ἐλλείπειν καὶ πλεονάζειν, ἐκ μέντοι τῆς κοινῆς φράσεως ἀπάσης καὶ τῆς τῶν

συγγραφέων ἀκριβοῦς συνθέσεως καὶ τὸ μεῖζον ἐκ δυνάμεως τῆς τοῦ λόγου, ἣν καὶ δεῖν ἐστὶ παραθέσθαι τῶν ἄλλων συντάξεων προδήλων οὐσῶν. Παρυφίσταται ἔν τισι μέρεσι λόγου δηλούμενα ἑτέρων μερῶν λόγου, ἐν τῷ Αἴας τὸ εἷς, ἐν τῷ Κρονίδης γενικὴ ἐνικὴ τοῦ πρωτοτύπου καὶ τὸ υἱός μετ' εὐθείας ἐνικῆς, ἐν τῷ Λεσβόθεν μετὰ τῆς ὀνοματικῆς ἐννοίας καὶ ἡ ἐξ πρόθεσις, ἐν τῷ Αἴαντε τὸ δύω, ἐν τῷ ταχύτερος τὸ μᾶλλον· πάμπολλος ἢ εἰς τὸ τοιοῦτο παράθεσις. καὶ οὐκ ἔστιν ἃς τις φήσει τὸ Κρονίδης λείπειν τῷ υἱός ἢ τὸ ταχύτερος τῷ μᾶλλον· πραστέθειν δὲ περισσὴν θέσιν ἐπαγγέλλεται. ἀφιστάνομεν τοὺς ἀποφαινομένους ἐξ οἴκοθεν, ποιηταῖς χαριζόμενοι τὸ τοιοῦτο, παρ' οἷς λείπουσιν αἱ προθέσεις καὶ πλεονάζουσιν·

123 ἀλλ' ὑμεῖς ἔρχεσθε καὶ ἀγγελίην ἀποφασθε

κατ' ἔλλειψιν τῆς ἀπό·

ἐξ οὐρανόθεν προΐαλλε

κατὰ πλεονασμὸν τῆς ἐξ. ἀλλ' οὐδὲ τὸ Αἴας ἐνικὸν καλούμενον λείπει τῷ εἷς. καὶ δὴ ἐν τοῖς ῥήμασι πάμπολλά ἐστι παρυφιστάμενα, ἐν μὲν τοῖς ὁριστικοῖς αὐτὸς ὁ ἐρισμὸς καὶ ἡ ἐξ αὐταῦ νοουμένη κατάφασις, ὅπου γε καὶ πρὸς τὰς ἐρωτήσεις ἀνθυπάγομεν τὸ ναί ἢ οὔ ἢ ῥῆμα ὁριστικόν, ὡς ἂν πάλιν ἐγκειμένης τῆς κατηφάσεως κατὰ τὰ ὁριστικά. γράφεις λέγω

κατ' ἐρώτησιν, καὶ τὸ ἀνθυπαγόμενόν ἐστιν ἢ ναί ἢ γράφω. ἐνθένδε καὶ ἡ οὐ ἀπόφασις τὸ ἐναντίον ἀναιροῦσα αὐτὸ μόνον τὰ ὁριστικὰ ἀποφάσκει, οὐ γράφω. ἀλλ' ἐνίοτε καὶ ὑπὲρ τούτων παραθέσθαι ἔχειται καὶ ὁ ἐνικὸς ἀριθμός, καὶ πάλιν τὸ εἰς οὐκ ἐπιζητεῖ τὸ γράφω. σαφὲς δ' ὅτι καὶ ἡ εὐθεῖα ἔχειται τῆς ἀντωνυμίας· καὶ εἰ τὰ κατειλεγμένα οὐ λείπει διὰ τὰ παρυφιστάμενα, οὐδὲ τὸ γράφω ἐλλιπές ἐστι τῆς ἐγὼ ἀντωνυμίας. Οὐχὶ οὖν λέγεται ἐγὼ γράφω, καὶ οὐ κακία τὸ τοιοῦτον; Καὶ αὐτὸς προείρηκα ὅτι οὐκ ἐν τῷ καθόλου. ἰδοὺ γὰρ καὶ τὰ προκατειλεγμένα ἀνάγκης ποτὲ οὔσης τῆς κατὰ τὸν λόγον συμπαραλαμβάνει τὰ μόρια τὰ παρυφιστάμενα,

ῥητέροι γὰρ μᾶλλον Ἀχαιοῖσιν

δὶς γὰρ γενομένης ἐπιτάσεως, μιᾶς μὲν ὑπούσης ἐν τῷ γοργότερος, ἀνάγκη πᾶσα τὸ καὶ τὴν 124 ἑτέραν συμπαραληφθῆναι. φαμὲν δὲ καὶ ναὶ γράφω, βεβαιοτέραν ποιούμενοι τὴν ἀπόκρισιν διὰ τῆς δὶς παρειλημμένης συγκαταθέσεως. ἀλλὰ καὶ ἕνα ἄνθρωπόν φαμεν περιπατεῖν, πρός τε τὸ ἀντιπαρακείμενον πλῆθος καὶ πρὸς τὴν τῶν πάντων ἀναίρεσιν, λέγω οὐδεὶς περιπατεῖ, οὐδένα εὗρον· τὸν αὐτὸν δὴ τρόπον ὑπούσης ἐκφορᾶς ἀπολελυμένης φήσομεν φιλολογῶ, φιλολογεῖς· εἰ μέντοι γε τὴν πρός τινα σύγκρισιν ἐθέλοιμεν διασαφῆσαι, ἐπισπώμεθα

τὴν ἀντωνυμίαν, ἴδιον ἔχουσαν τὴν ἐν τοῖς πρόσωποις ἀντιδιαστολήν. σαφὲς γὰρ ὅτι οὐχ ἵνα τὸ πρόσωπον διαστείλωμεν· τοῦτο γὰρ κοινὸν εἶχε καὶ τὸ ῥῆμα. διὸ καὶ πάντως τὰ ἀπαρέμφατα δέεται τῆς τούτων συντάξεως, ἐλλιπῆ καθεστῶτα. Φησὶ μέντοι Ἄβρων ὡς τὸ ἐγὼ μὲν παρεγενόμην οὐ συνετόν, εἰ παραλίποι τὴν ἀντωνυμίαν, οὐκ ἐπιστήσας ὡς ὁ σύνδεσμος αἴτιος γενόμενος ἐπιπλοκῆς ἑτέρου λόγου πάντως διήγειρε τὴν ἀντωνυμίαν, ἵνα δεόντως ἀντιδιαστείλῃ τὸ ἐπιφερόμενον ἕτερον πρόσωπον, ὅ περ ἐνέκειτο ἐν τῷ ἐπιφερομένῳ λόγῳ.

13 ὀρθοτονοῦμεν γοῦν τὸ

ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα

διὰ τὸ ἀντιδιαστελλόμενον πρόσωπον τῶν ἑταίρων. Τὸ δὲ πάντων συνεκτικώτατον, αὗται αἱ ἀντωνυμίαι ὑπαγορεύουσι τὸ ἕνεκα μόνον τῆς ἀντιδιαστολῆς συμπαραλαμβάνεσθαι. τοῦτο γὰρ μόνον περιττεύουσαι παρῆκαν μέντοι ἐγκλιτικὴν τάσιν, ἐπεὶ αὕτη ἀνεπληροῦτο πρὸς τῶν ῥημάτων, ἐνέμειναν δὲ διὰ τὸ ἑπακολουθοῦν αὐταῖς ἰδίωμα καὶ καθὸ πᾶσα ἀντωνυμία ὀρθῆς πτώσεως ἐγκλιτικῆς συντάξεως ἀπαράδεκτός ἐστιν, οὐ μόνον τῆς χρήσεως τὸ τοιοῦτον ἐπιδειξαμένης, ἀλλὰ καὶ τῆς φωνῆς συνεπισχυούσης τῇ χρήσει, εἴ γε ἀπὸ τοῦ ē ἀρχόμεναι αἱ ἀντωνυμίαι ἅμα τῇ ἐγκλίσει καὶ τὸ κατ' ἀρχὴν ē παρέφθειραν, ὅ περ οὐ πα-

ρηκολούθει τῇ ἐγώ, ἐπειδὴ ἀπαράδεκτος τῆς ἐγκλιτικῆς συντάξεως. καὶ διὰ τοῦτο τῇ μονῇ τοῦ ξ αἱ παρ' Αἰολεῦσιν ἀντωνυμίαι ὀρθοτονοῦνται, κἂν βαρύνωνται κατὰ τὸ τέλος. πῶς οὖν οὐ γελοῖοι οἱ ὑπολαμβάνοντες τὴν ἐγώ ἐγκλιτικὴν εἶναι, ἔτι τοῦ ἰδιώματος συντηρουμένου τῆς ὀρθῆς τάσεως, ὅπου γε καὶ πλεονάσαν τὸ ξ τὰς ἐγκλινομένας τῶν ἀντωνυμιῶν εἰς τὸν ὀρθὸν τόνον μετέθηκεν, ἃς οὐκ ἄλλως τις ἐγκλίνειεν, εἰ μὴ περιγράψειε τὸ ξ, ὃ περ ἴδιον ἦν μόνον τῆς ὀρθοτονουμένης ἀντωνυμίας. ἔνθεν μοι δοκεῖ μόνως ἐγκλίνεσθαι τὴν τύ ἀντωνυμίαν παρὰ Δωριεῦσιν, οἷον

ὥς τυ φιλάτω,

ἵνα τὸ ἀλλότριον τῆς εὐθείας ἐγγενόμενον, λέγω τὴν ἐγκλιτικὴν σύνταξιν, ἀποβάλῃ μὲν τὴν εὐθεῖαν πτῶσιν, μετίῃ δὲ ἐπὶ τὴν συγγενῆ αἰτιατικήν, ᾗ καὶ συνυπάρχει καὶ συνεμπίπτει ἐν δυϊκοῖς καί τισι τῶν πληθυντικῶν καὶ ἐν ἅπασιν οὐδετέροις. Ἀνάγκη μέντοι πᾶσα τοῖς τρίτοις προσώποις προσεῖναι ἢ αὐτὰς τὰς ἀντωνυμίας ἢ τὰ ἀνθ' ὧν παραλαμβάνεται, λέγω τὰ ὀνόματα, οὐχ ἕνεκεν πτώσεως, ἐπεὶ πάλιν παρυφίσταται ἡ εὐθεῖα, ἀλλ' οὐδὲ ἕνεκα προσώπου — νοεῖται γὰρ ὅτι τρίτον —, ἀλλ' ἕνεκά γε τοῦ μὴ ἀοριστοῦσθαι. ἄπειρα γὰρ ὄντα τὰ τρίτα πρόσωπα μιᾷ ἐπαρκεῖται συντάξει τοῦ ῥήματος· καὶ σαφὲς ὅτι μία λέξις κατ' ἀ-

πείρων κειμένη ἀόριστον πρόσωπον ὑπαγορεύ-
ει, εἰς πολλὰ τῆς διανοίας τρεπομένης. οὖσαι
δὲ ὡρισμένων προσώπων παραστατικαὶ ἀναγ-
καίως παρατίθενται τοῖς ῥήμασιν, ἵνα ἐκ τῆς
αὐτῶν παραθέσεως περιγράφηται ἡ ἀόριστος
ἔννοια τῶν ῥημάτων· γράφω γὰρ ὅδε ἢ οὗτος,
ἐκεῖνος, αὐτός. Καὶ ὡς μὲν ἀναγκαίως αἱ τῆς
εὐθείας μόνως ὀρθοτονοῦνται, ἐδείχθη.

14 Ἀκολούθως δὲ χωρητέον καὶ ἐπὶ τὰς ἐξῆς
πτώσεις, αἷς τὸ διαστὸν τοῦ τόνου παρεπόμε-
νόν ἐστι παρὰ τὰς ὑπούσας συντάξεις τοῦ
λόγου, εἴ γε μὴ τὸ τῆς φωνῆς ἰδίωμα ὑπεξέ-
λυται τὸ διτονῆσαι. Ἔστιν οὖν ὁ γενικώτατος
τρόπος τῆς ἐν αὐταῖς. ἀρθῆς τάσεως, ἐπὰν ἔμ-
φασις ἑτέρου προσώπου παραλαμβάνηται· τὸ
γὰρ

παῖδα δ' ἐμοὶ λύσατε

εἴρηται πρὸς τὸ

ὑμῖν μὲν θεοὶ δοῖεν,

127 καὶ σαφὲς ὅτι τὸ ὑμῖν μὲν θεοὶ δοῖεν διὰ τῆς
συνούσης τάσεως προσυνίστησι τὸ ἀνθυπα-
χθησόμενον πρόσωπον. τὸν δὲ προειρημένον τρό-
πον εἰς πλείονας τρόπους πάλιν τέμνουσιν, ἐξ
ὧν πάλιν περίσταται ταὐτὸν τῷ προειρημένῳ.
Πᾶσα γάρ φασιν ἀντωνυμία συμπλεκομένη ἐν
τάσει ὀρθῇ ἐστί, Διονυσίῳ ἐλάλησε καὶ
ἐμοί, Διονύσιον τιμᾷ καὶ ἐμέ· εἰ γοῦν ἐκ-
τὸς τοῦ συνδέσμου γένοιτο ἡ ἀντωνυμία, οὐ

πάντως ὀρθοτονηθήσεται, ἐχαρίσατό σοι καὶ Διονυσίῳ, ἐτίμησέ σε καὶ Διονύσιον. καί φασι τὰ τοιαῦτα μὴ συμπεπλέχθαι ἐν τῇ ἀντωνυμίᾳ,

καί μ' ἐφίλησε

καί μοι ὑποστήτω·

καὶ δῆλον ὅτι, εἰ μὴ τὰ τοιαῦτά τις ἐπεξεργάζοιτο, δόξει αὐτὸ μόνον τοῖς ἀναγνώσμασιν ἠκολουθηκέναι, ἀφορμήν τε δώσει τοῖς θέλουσι διαταράσσειν τὰ ἀναγνώσματα, καθὸ οὐκ ἐπέχονται ὑπὸ λόγου δυναμένου ἐπιδείξαι τό τε δέον τοῦ καταλλήλου καὶ τοῦ ὑπερβατοῦ. Οἱ δὴ καλούμενοι ἀθροιστικοὶ σύνδεσμοι ἐκ τῶν προκειμένων λόγων ἀπὸ κοινοῦ λαμβάνουσιν ἢ ὄνομα ἢ ῥῆμα. ἐντεῦθεν καὶ στιγμῆς ἀπροσδεεῖς εἰσίν, ὡς ἂν ἔτι ἐχομένου τοῦ προκειμένου λόγου ὡς πρὸς τὸν ὑποκείμενον. ἐκκείσθω δὲ ὑποδείγματα, ἐκ μὲν τοῦ συνήθους λόγου καὶ Διόνυσιος περιπατεῖ καὶ Ἀπολλώνιος, κοινοῦ παραλαμβανομένου τοῦ περιπατεῖ· ἐκ δὲ τοῦ ποιητικοῦ

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον,

Ἀρκεσίλαός τε Προθοήνωρ τε Κλονίος τε,

128 κοινοῦ πάλιν παραλαμβανομένου τοῦ ἦρχον. οὗ φημι δὲ τοῦτο, ὡς πάντως ἐν κοινότητι τὰ τοιαῦτα παραλαμβάνεται, ἀλλ' ὡς τὰ ἐκ κοι-

νοῦ παραλαμβανόμενα ἐν τοιαύτῃ συμπλοκῇ καθέστηκε, λέγω τῇ ἐκ τοῦ καί τῶν τε τούτῳ ἰσοδυναμούντων. δείξομεν γὰρ ὅτι ὁ δὲ καὶ πάλιν οἱ τούτῳ ἰσοδυναμοῦντες παραιτοῦνται τὰς κοινότητας, μεταβασιν ποιούμενοι καὶ τῶν πτωτικῶν καὶ ἔτι τῶν ῥημάτων. ἔνθεν ἀπροσδεεῖς ὄντες τοῦ παρακειμένου λόγου στιγμῆς αἴτιοι καθεστᾶσιν, ὡς ἔχει τὰ τοιαῦτα, Διονύσιος μὲν ἐγραψε, Τρύφων δὲ ἀνέγνω· χωρὶς εἰ μὴ ἐπιμεριζόμενα εἴη ἐκ πλήθους, ὡς ἔχει τὸ φιλολογήσωμεν σήμερον, σὺ μὲν κατὰ σχολήν, ἐγὼ δὲ κατ' οἶκον·

ἀλλ' ἤτοι μὲν ταῦτ' ἐπιείξομεν ἀλλήλοισι,

σοὶ μὲν ἐγώ, σὺ δ' ἐμοί.

τὴν δὴ τοιαύτην χρῆσιν, πάνυ ἀκριβεστάτην οὖσαν, ἐν τῇ ἐπιβαλλούσῃ τάξει πάλιν ἐκθησόμεθα. ἀνιτέον οὖν ἐπὶ τὸ προκείμενον. ἐὰν πτωτικὸν συμπλακῇ, οὔποτε κατὰ τὸν ἐξῆς λόγον δύναται κοινὸν παραληφθῆναι, τό γε μὴν ῥῆμα· καὶ ἀνάπαλιν ἐὰν ῥῆμα συμπλακῇ, οὔποτε κατὰ τὸν ἐξῆς λόγον κοινὸν παραλαμβάνεται, τό γε μὴν συνὸν πτωτικόν. ἐκκείσθω δὲ ὑποδείγματα, καὶ Τρύφων διελέξατο καὶ Ἀπολλώνιος, οὐ κοινοῦ μὲν τοῦ Τρύφων παραλαμβανομένου, τοῦ γε μὴν διελέξατο· καὶ ἀνάπαλιν καὶ διελέξατο Τρύφων καὶ ἀνέγνω, νῦν πάλιν τοῦ Τρύφων

κοινοῦ παραλαμβανομένου τὴν αὐτὴν σύνταξιν ποιήσει καὶ ἐπὶ τῶν ἀντωνυμιῶν. εἰ μέντοι γε ὁ προκείμενος λόγος μὴ ἀναδέξαιτο τὸν σύνδεσμον, τὸ τηνικαῦτα ἀδιαφόρως ἔχει τὸ ἐπιφερόμενον τοῦ κοινοῦ, Τρύφων περιπατεῖ καὶ Ἀπολλώνιος, περιπατεῖ Τρύφων καὶ διαλέγεται, ἀμφοτέρων ἀπὸ κοινοῦ δυναμένων λαμβάνεσθαι. ᾧ λόγῳ εἰ προεδώκαμεν τὸν σύνδεσμον, περὶ τὴν σύνταξιν τοῦ συνδεδεμένου τὰ τοῦ λόγου καταστήσεται, καὶ Τρύφων περιπατεῖ καὶ Ἀπολλώνιος, καὶ περιπατεῖ Τρύφων καὶ διαλέγεται· οὐ γὰρ ἐν ὑγιεῖ λόγῳ τὰ τοιαῦτα, καὶ περιπατεῖ Τρύφων καὶ Ἀπολλώνιος. ὁμολογουμένως οὖν τὸ συνδεδεμένον πτωτικὸν ἀπαιτεῖ ἕτερον πτωτικὸν πάντως, καὶ τῆς αὐτῆς πτώσεως, ὡς γε προῦπτόν ἐστιν ἐξ ἐκείνου,

εἰπὲ καὶ ἡμῖν,

καὶ γὰρ ἄλλοις·

ὃν πέρι μοῦσα φίλησε, δίδου δ' ἀγαθόν τε κακόν τε·
ὀφθαλμῶν μὲν ἄμερσε, δίδου δ' ἠδεῖαν ἀοιδήν·

ἢ ὡς Ἀρίσταρχος ὡς οὐ κείμενον τὸν σύνδεσμον παραιτεῖται, ἵνα μὴ ἐξ αὐτοῦ τὸ ὁμοιόπτωτον πρόσωπον νοῶνται. ἔνθεν οὖν ὀρθοτονοῦνται διὰ τὸ ἐπισυμπλεκόμενον πτωτικόν. ἐν-

θεν τὸ

καί μοι ὑποστήτω,

καί μ' ἐφίλησεν

οὐ συμπλέκεται κατὰ τὸ ἀντωνυμικόν, κατὰ δὲ τὸ ῥῆμα, καὶ ἔστι τὰ τοῦ λόγου ἐν ὑπερβατῷ· ἰδοὺ γὰρ ἡ συμπλοκὴ οὐκ ἐπήγαγεν ὁμοιόπτωτον πρόσωπον πρὸς τὸ συμπεπλεγμένον ὑπὸ τῶν ἀντωνυμιῶν. ἔνθεν δὲ ἀνεθεῖσαι τῆς διαστολῆς αἱ ἀντωνυμίαι παρῆκαν τὸν ἴδιον τόνον, ὡς ἂν οὐκ ἀνεχόμεναι ὑπὸ τοῦ συνδέσμου. Τὸν αὐτὸν δὴ λόγον ποιήσει καὶ ἐπὶ τῶν κατὰ διάζευξιν παραλαμβανομένων καὶ καθόλου τῶν δυναμένων εἰς σύνταξιν πτωτικὴν παραλαμβάνεσθαι. φημὶ δὲ τὸ τοιοῦτον, καθὸ σύνδεσμος [ὁ ὅτι] ἐπὶ ῥήματος φέρεται μόνον, ὅθεν οὐδὲ ἀναγκαίως διεγείρει τὰς ἀντωνυμίας, εἰ μὴ τὰ τοῦ λόγου ἀπαιτήσει· οἷόν τε γὰρ φάναι ὅτι σε ἐτίμησα ὑβρίσθην. καθόλου γὰρ οὐκ οἶδε τὴν ἀντωνυμίαν. εἰ δὲ κατ' ὀρθὴν τάσιν φαίημεν ὅτι σὲ ἐτίμησα, δῆλον ὡς οὐ διὰ τὸν σύνδεσμον, διὰ δὲ τὴν ἐπακολουθήσασαν ἀντιδιαστολήν. ἀνάπαλιν οὖν ὁ ἕνεκα σύνδεσμος, φερόμενος πάντοτε ἐπὶ γενικήν, μόνως ὀρθοτονεῖ τὴν ἀντωνυμίαν, ἡνίκα τὰς τούτων γενικὰς συνδεῖ,

εἵνεκ' ἐμεῖθ κυνός.

τίς γὰρ ἂν θαρρήσειεν Ἑλλήνων ἐγκλίνειν τὸ ἕνεκά μου; καὶ δῆλον ὡς μόνως πάλιν

τουτέστιν ἐγκλιτικὰς αὐτὰς καθίστησιν, ἡ δὲ πρός τι ἐν ἀρχῇ παρεδέξατο τὴν ἀντωνυμίαν, ἣ σύνεστι καὶ ἡ ὁλόκληρος φωνὴ καὶ ἡ παρεπομένη γραφή· πρόδηλον ἐκ τοῦ δός μοι καὶ ἐμοὶ δός. Ἀλλὰ κἀκεῖνος ὁ λόγος ἀληθής ἐστιν, ὡς αἱ προθέσεις συντίθενται κατ' εὐθείαν καὶ κατὰ τὰ ῥήματα, κατὰ δὲ τὰς πλαγίας παρατίθενται, ἐπὶ μὲν ἀντωνυμιῶν προφανῶς, ἐπὶ δὲ ὀνομάτων δόξει τὰ τοῦ λόγου διαψεύδεσθαι· λέγομεν γὰρ Ὑπέρβολον, Ἐπίκουρον. ὃ περ εἴ τις ἀκριβὲς ἐξετάσειεν, οὐχ 133 εὑρὸν ἂν τὴν πλαγίαν συντιθεμένην, συνθέτου δὲ εὐθείας πλίσιν γενομένην. ἰδιάζουσαι γοῦν αἱ πλάγιοι ἐν ταῖς προθέσεσι πρόδηλον ποιοῦνται τὴν παράθεσιν, κατὰ Κτησιφῶντος, ὑπὲρ Ἀριστάρχου. καὶ διότι τὸ τοιοῦτο παρεπόμενόν ἐστιν, ἐν τῇ περὶ αὐτῶν συντάξει εἰρήσεται. αἱ γὰρ παρατιθέμεναι ἐν ταῖς πλαγίαις τῶν ἀντωνυμιῶν ἀναγκαίως ἀρκτικὰς αὐτὰς ποιοῦσι· προθετικαὶ γὰρ οὖσαι συμπροτιθέασι καὶ τὰς πλαγίας, αἷς καὶ συντάσσονται· καὶ οὕτω τῶν ῥημάτων δευτέρων γινομένων μετὰ τὰς ἀντωνυμίας ἀνάγκη πᾶσα ἐγγίνεσθαι ὀρθὴν τάσιν ταῖς ἀντωνυμίαις, καθὼς ἐπεδείξαμεν ὅτι ἀδύνατόν ἐστιν ἐπινοῆσαι ἐγκλιτικὴν πρὸ ῥήματος τοῦ πρὸς ὃ ποιεῖται τὴν σύνταξιν. φαμὲν γὰρ ἔγραψά σοι

λα-

λαλῆσαι Ἀπολλωνίῳ, οὐ τῆς ἀντωνυμίας συνταττομένης τῷ λαλῆσαι, τῷ δὲ ἔγραψα, πρὸς ὃ καὶ τὴν τάσιν ἀπηρείσατο.

17 Ἔνθεν μοι δοκεῖ ἡ μετὰ τὰ ῥήματα τῶν ὀρθοτονουμένων ἀντωνυμιῶν σύνταξις ἀνεστρά-
φθαι, εἰ οὕτω τις φαίη, ἐλάλησας ἐμοί· τὸ γὰρ δέον ἐστὶν ἐμοὶ ἐλάλησας, καὶ τὸ οὕτως ἔχον

σοὶ μὲν δὴ Μενέλαε κατηφείη καὶ ὀνει-
δος

ἔσσεται ἤματα πάντα.

εἰ γὰρ τὸ ἀπολελυμένον πρόσωπον τῆς θέσεως
134 τοῦ ὀρθοτονουμένου οὐκ ἔτυχε, τουτέστιν εἰ ἡ ἐγκεκλιμένη ἀντωνυμία οὐδέποτε προστακτικὴ, οὐδὲ ἐκείνη ὑποστακτικὴ δεόντως παραληφθήσεται, ὅπου γε καὶ αἱ ὑποστακτικαὶ ἐν ἀρχῇ γινόμεναι παρῆκαν μὲν τὴν ἰδίαν φωνήν, μετέλαβον δὲ τὴν τῆς ὀρθῆς τάσεως·

ἔγνω δὲ ψυχή με τοδώκεος Αἰακίδαο,

καὶ ἔν ἑτέροις

ἐμὲ δ' ἔγνω καὶ προέειπε.

νῦν γὰρ οὐ δηλουμένη ἡ ὀρθὴ τάσις, τάξεώς γε μὴν ἐναλλαγῇ συνεπισχύει καὶ ὁ ἀπὸ τῆς φωνῆς λόγος. ὑπὲρ γὰρ τοῦ εὐλήπτα τὰ τῆς συντάξεως γίνεσθαι τὸ ἀπόλυτον πρόσωπον καὶ ὑποστακτικὸν παρῆκε τὸ ε, καίτοι μὴ τοῖς μονοσυλλάβοις ἠδύνατο τὸ τοιοῦτον παρέπεσθαι, λέγω τὸ συλλαβὴν ἀποβάλλειν, τάνου

γε ἀπεβολὴν ἐποιήσατο· ἔνθεν γὰρ καὶ ἐγκλιτικαὶ ἐγένοντο. Οἰήσεταί τις ἀντικεῖσθαι τὰς πληθυντικάς, καθὸ εἰς ἔγκλισιν παραλαμβανόμεναι οὐ παραφθείρουσι τὸν ἐν ἀρχῇ χρόνον, ἤκουσεν ἥμαν Διονύσιος. εἴπομεν κατ' ἀρχὴν ὡς ἔσθ' ὅτε ἰδίωμα φωνῶν ἐλλιπεστέρας καθίστησι διηνεκεῖς τηρήσεις, ὡς περ καὶ ἐν τοῖς τριγενέσι τῶν ὀνομάτων πάλιν ἰδίωμα φωνῆς ἐπικόπτει τριγένειαν. πρῶτον μὲν γὰρ ἡ δασεῖα οὐ θέλει ἀφαιρεῖσθαι· δείκνυμεν δὲ ὅτι ἀναγκαίως αἱ πληθυντικαὶ ἀπὸ δασείας ἤρξαντο. εἰ γὰρ καὶ χρόνος ἀφῃρεῖτο τοῦ ῆ, πάντως ἂν καὶ ἡ ἄρχουσα ψιλὴ ἐγίνετο· αἱ γὰρ ἀπὸ βραχείας ἀρχόμεναι ἀντωνυμίαι ψιλοῦνται. ἔνθεν ὁ Αἰολεὺς συνέστειλεν εἰς βραχὺ ᾱ τὸ ἄμμων. καὶ συνεχὲς τὸ ε ἐν ταῖς κατὰ πρόσωπον κλίσεσι καὶ προστίθεται καὶ ἀφαιρεῖται, ἐώρων, ἔπα, ἔειπα, ἀλλὰ καὶ τὸ ἔβη βῆ, ἔφη φῆ, καὶ ἐν ἀντωνυμίαις τὰ ἔοι οἷ, ἔου οὗ. καὶ διὰ τοῦτο αἱ ἀπὸ τοῦ ε ἀρξάμεναι ἀντωνυμίαι ἀναγκαίως τὸ ε διαφθείρουσιν. ἠρέσθη οὖν ἡ ἔγκλισις αὐτὸ μόνον διὰ τῆς μεταθέσεως τοῦ τόνου, ἤκουσ' ἤμων, λέγω ἀπολύτως, τῆς τάσεως μετατιθεμένης κατὰ τὴν ἄρχουσαν· ἀδυνάτει γὰρ ἐπὶ τὸ προκείμενον μόριον προελθεῖν, εἴ γε μέχρι τριῶν χρόνων τὸ τῆς ἀμοιβῆς τοῦ τόνου ἐγγίνεται. καὶ ἔνεκα τούτου τὸ καί σφεας ἐξ ὅλης τῆς ἀντωνυμίας μετέθηκε τὸν τόνον, οὐ

μὴν πάλιν τὸ ἡμᾶς. ἐν τῷ περὶ τόνων ἀκριβέστερον τὰ τοιαῦτα ἐπιδείκνυμεν.

18 Κἀκεῖνο δὲ ὅτι ἐστὶ παραστῆσαι, ὡς ταῖς μὲν ὀρθοτονουμέναις ἀρκτικαῖς οὔσαις παρείπετο καὶ μετατίθεσθαι τοῦ ἰδίου τόπου, καθὸ καὶ ἐν τάσει καὶ ἐν τῇ παρεπομένῃ γραφῇ ἀνελλιπεῖς οὖσαι οὐκ ἐκωλύοντο τῆς μεταθέσεως· ἔκ γε μὴν τῶν ἐναντίων αἱ ἐγκλιτικαὶ προσαπηρεισμέναι προκειμένῳ τινὶ μορίῳ, ἐφ' ὃ καὶ τὴν τάσιν μετέθηκαν, οὐκ εἶχον ἐν δέοντι τὰ τῆς μεταθέσεως. ἐστέροντο γὰρ τοῦ παρεπομένου αὐταῖς ἰδιώματος· πρὸς οὐδὲν γὰρ εἶχον τὰ τῆς ἐγκλίσεως μεταθέσθαι. ἐντεῦθεν καὶ
136 μόνως ἐγκλιτικαὶ ἐπενοήθησαν ἥ σφίν καὶ ἥ σφέ καὶ ἵ μίν καὶ ἵ τοί διὰ τοῦ τ γραφόμενον, καὶ ἡ παρὰ Δωριεῦσι τύ κατ' αἰτιατικὴν πτῶσιν καὶ αἱ δυϊκαὶ τοῦ τρίτου προσώπου· οὐ γὰρ ῥημάτων ποτὲ προηγήσαντο. Πάνυ μέντοι εὐπαθές ἐστι δόξαι τοὺς λόγους διακρούεσθαι ὑποθεμένου τινὸς τὰ ἐναντία, ὡς καὶ ἐγκλιτικαὶ πρὸ ῥημάτων καὶ ὀρθοτονούμεναι ἐν ταῖς προθέσεσι μετὰ τὰ ῥήματα τίθενται, εἰ οὕτω τις φαίη, σήμερον ἐλάλησα κατὰ σοῦ, σήμερόν σε ἐθεασάμην,

καί τυ φίλιππον ἔθηκεν.

εἰς γὰρ τὸ τοιοῦτο τὰ τῆς συντάξεως ἀπεδείχθη, ἵνα καὶ τὰ λελησμένα τῶν ὑπερβατῶν, ὄντα καὶ κατὰ τὸ σύνηθες, ἔχηται τοῦ ἀκο-

λούθου λόγου καὶ μὴ μόναν τὰ παρὰ ποιηταῖς ὡς ἐξαίρετά τις ὑπολαμβάνῃ. ἡ γὰρ δι-
ουσα κατάστασις τοῦθ' ὑπαγορεύει, σήμε-
ρον ἐθεασάμην σε, τοῦ ἐπιῤῥήματος ἐπὶ τὸ
ῥῆμα φερομένου καὶ τῆς ἀντωνυμίας ἐπὶ τὴν
δέουσαν θέσιν τῆς ἐγκλίσεως· καὶ ἔτι, ἐπὶ τῆς
ὀρθοτονουμένης κατὰ σοῦ ἐλάλησα, καὶ ἔτι
ἐπὶ τοῦ

καί τυ φίλιππον ἔθηκε,

καὶ ἔθηκέ σε· ὡς εἰ καὶ ἐπὶ τῶν συναπτικῶν
τις ὑπολάβοι ἢ καὶ ἐπὶ παρασυναπτικῶν μὴ
ἵστασθαι τὸ καὶ ἀρκτικοὺς αὐτοὺς εἶναι, εἰ
φαίημεν φῶς ἐστίν, εἰ ἡμέρα ἐστίν. αὐτὸ
γὰρ μόνον τῇ συνθέσει τὸ εἰ ἡμέρα ἐστί δευ-
τερεύει, οὐ μὴν τῇ διεξοδικῇ ἀπαγγελίᾳ· πρῶ-
τον μὲν γὰρ ἐπιδέχεται ἡ διάνοια τὸ εἰ ἡμέ-
137 ρα ἐστί, καὶ τότε ἐπιδέχεται τὸ φῶς ἐστί,
καὶ οὐ πάντως οὐχὶ προτακτικὸς ὁ εἰ συνα-
πτικός, καί τοι γενόμενος ὑποτακτικὸς ἐνίοτε.

Αἵτε παρὰ τοῦτον ἐσχηματισμέναι ὀρθοτονοῦν-
ται, καὶ ὅσαι ἐκ προϋπηργμένης χάριτος τὴν ἐναν-
τίαν διάθεσιν ὁμολογοῦσιν, ἐμοὶ ἐτόλμησε
ταῦτα ποιῆσαι, ἐμὲ ὑπέμεινεν ὑβρίσαι.
καὶ σαφὲς ὅτι συντείνει πάλιν ἐπὶ τὸν προειρη-
μένον λόγον· τοιοῦτον γάρ ἐστιν, ἄλλον ὤφει-
λεν ὑβρίσαι, οὐκ ἐμὲ τὸν παρ' αὐτῷ τίμιον. ὁ
αὐτὸς λόγος καὶ ἐπὶ τῶν παραλαμβανομένων ἐκ
προϋπηργμένης ἀδικίας, δεῖ ἐμοῦ ὁρῶντος

ἐκεῖνον αἰκίζεσθαι· οὐκ ἄλλου γὰρ ἢ ἐμοῦ τοῦ προαδικηθέντος.

Ὀρθοτονεῖσθαί φασι καὶ τὰς πεπλεονακυίας, λέγω τὴν ἐμεῖο καὶ τὰς ὁμοίας, πάνυ εὐλόγως, πρῶτον καθὸ σύνεστι πάλιν ἡ ἐν αὐταῖς διαστολή,

εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδρου ἕνεκ' ἀρχῆς.

οὐ τοῦτο δέ φημι, ὅτι κἂν μὴ μετὰ τοῦ ῑ λέγηται, οὐ πάντως ὀρθοτονηθήσεται, ἐπεὶ ἰδοὺ καὶ τὸ δίχα τοῦ ῑ,

σέο δ' εἵνεκ' αὐτή τε πόλεμός τε·

πρόδηλον γὰρ κἀκ τοῦ σημαινομένου καὶ τοῦ ἕνεκα συνδέσμου, καθὼς ἐπεδείξαμεν. Δεύτερον οὐκ ἄλλως οὔτε πλεόνασμά τις ἐπινοήσειεν οὔτε ἔνδειαν, εἰ μὴ πρότερον ἡ φωνὴ ὁλόκληρος ἐπιδεικνύοιτο, ἵνα τὸ ἐγγενόμενον πάθος τὸ ἕτερον ἀποτρίψηται, λέγω τὴν ἔνδειαν ἢ τὸν πλεο-
138 νασμόν. καὶ περισσὸν εἰς τὸ τοιοῦτον παρατίθεσθαι· ὁ γὰρ λόγος προφανής. οὐχὶ οὖν πλεονασμὸς ἐγγενήσεται ἐν ἀντωνυμίαις οὐχὶ αὐτῆς πρότερον ἐντελοῦς οὔσης· ἐντελὴς δὲ καθεστῶσα μόνως ὀρθοτονουμένη ἐστίν· ὑγιῶς ἄρα τὸ ἐγγινόμενον πάθος ὁμολογεῖ ὁλόκληρον τὸ ἀφ' οὗ ἐγένετο. ἦσαν δὲ ἐντελεῖς αἱ σὺν τῷ ε λεγόμεναι, καὶ οὕτως αἱ πλεονάσασαι μόνως ὀρθοτονοῦνται. Τρίτον τὸ μέγιστον μέγεθος τῶν ἐγκλιτικῶν τρίχρονόν ἐστι· πῶς οὖν ἡ ἐμεῖο ἐγκλιθήσεται; ἀλλ' οὐδὲ ἡ σεῖο, κἂν τρίχρονος ᾖ.

εἰ γὰρ τὰ ἐγκλιτικὰ μόρια καταφορὰ ἐπὶ ταὺς ἐλάττονας χρόνους, πῶς οὐχὶ αἱ πλεοναάσασαι χρόνῳ ἀντωνυμίαι εἰς τὸ ἐναντίον τῆς ἐγκλίσεως μεταστήσονται; καὶ ὁ τοῦ ε̄ δὲ πλεονασμός, ἐν τῇ ἔε-ῇοι καὶ ἔτι ἐν ταῖς συζύγοις ἐγγινόμενος, πολλῷ μᾶλλον ἐπισπᾶται τὴν ὀρθὴν τάσιν. εἰ γὰρ αἱ ἀπὸ τοῦ ε̄ ἀρχόμεναι ἀντωνυμίαι, ἡνίκα ἐγκλίνονται, παραφθείρουσι τὸ ε̄, ὡς ἐν τῷ δός μοι, ἄκουσόν μου, πῶς αἱ τούτῳ πλεόνασασαι οὐ τὰ ἐναντία τῆς ἐγκλίσεως ἀπαιτήσουσι; καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἐδείξαμεν.

Ἀλλὰ καὶ αἱ δυϊκαὶ τοῦ πρώτου καὶ δευτέρου προσώπου μόνως ὀρθοτονοῦνται διὰ τὸν τόνον τῆς βαρείας. προπαροξύνονται γὰρ τὰ ἐγκλιτικὰ μόρια ἐπὶ τέλους ἔχειν τὴν ὀξεῖαν, ἢ φύσει ἢ δυνάμει — λέγω δὲ δυνάμει διὰ τὰ περισπώμενα —, ἵνα ἡ τοῦ τόνου ὑποστροφὴ τὸ μὲν προκείμενον ὀξύνῃ, αὐτὸ δὲ μεταστήσῃ εἰς βαρεῖαν τάσιν· ὅπερ ἐπὶ τῆς νῶϊ οὐκ ἠδύνατο ἐγγενέσθαι. αἱ γοῦν κατὰ τὸ τρίτον πρόσωπον μόνως ἐγκλιτικαὶ μόνως καὶ ὀξύνονται, ἥ τε σφώ καὶ ἡ σφωΐν· ἐκεῖ τίς ἡ αἰτία τοῦ μὴ βαρύνεσθαι αὐτάς; ἔρρεθεν τὸ εἰμί καὶ φημί ὠξύνθη διὰ τὴν ἐποῦσαν αὐτοῖς ἔγκλισιν, καίτοι τῶν ῥημάτων καταφερομένων εἰς τὴν ἐπὶ τέλους βαρεῖαν. τὰ πύσματα οὐκ ἔστιν ἐγκλιτικὰ διὰ τὸ βαρύνεσθαι, τά γε μὴν παρακείμενα αὐτοῖς ἀόριστα,

ἐπὶ μᾶλλον ἐν τῷ τέλει ἔσχε τὴν ὀξεῖαν. οὐ τοῦτο δέ φημι, ὅτι τὰ ἀόριστα μόνως ἐγκλιτικά ἐστιν· ἀλλ' εἴ τι τῶν τοιούτων μορίων ἐγκλιτικόν ἐστι, τοῦτο καὶ ἀόριστόν ἐστιν, ὡς τὸ ἦλθέ τις, ἦλθέ ποτε. καὶ ἐνθεν δείκνυται ὅτι τὸ τίς ἀοριστούμενον μᾶλλον ὀξύτονόν ἐστι, πευστικὸν δὲ καθεστὸς τῷ λόγῳ τῆς ἀρχούσης ὀξύνεται. ἔστι καὶ ἄλλα παραθέσθαι. πρεῦπτον οὖν ὅτι καὶ ἡ ἐκεῖνος καὶ ἡ οὗτος ἐγκλιτοί διὰ τὸν αὐτὸν λόγον, προστιθεμένου τοῦ ὅτι καὶ δεικτικαί εἰσιν· ἢν δὲ παρεπόμενον ταῖς ἐπιτεταμέναις κατὰ δεῖξιν τὸ μὴ παραφθείρειν τοὺς τόνους, καθὼς ἔστι τηρῆσαι ἐπὶ τῶν προκειμένων.

140 Ὁ προκείμενος λόγος ἀναγκαίως διδάσκει ὡς ἀναλόγως ἡ αὐτὸς ὠξύνθη. ἀπέωστο γὰρ τῆς δείξεως ἡ μετάληψις τῶν κατὰ τὸ τρίτον πρόσωπον, οἷς παρηκολούθει καὶ τὸ ἐγκλίνεσθαι. ἀλλὰ διὰ τί ἐπὶ τῆς ῥωμαστικῆς οὐκ ἐγκλίνεται; σαφὲς ὅτι δι' αὐτὴν τὴν πτῶσιν, καθότι καὶ ἡ ἐγώ καὶ ἡ σύ καὶ αἱ σύζυγοι. τί οὖν οὐχὶ καὶ ἐπὶ γενικῆς καὶ δοτικῆς; φαίημεν ἂν διὰ τὸ τετραχρονεῖν, ἀλλὰ καὶ ἐπὶ τῆς ἡμῶν καὶ ἐπὶ τῶν τετραχρόνων τὰ τοῦ λόγου μάχεται. εἰ γὰρ καὶ τὴν τάσιν οὐκ ἀποβάλλουσιν, ἀλλ' αὐτήν γε μετατιθέασι κατὰ τὸ ἄρχον μέρος, ὡς ἐν τῷ ἄκουσον ἡμων· ὃ περ οὐ παρηκολούθει καὶ τῆς αὐτῷ ἢ αὐτοῦ. καὶ τὸ τοιοῦτον ἔχει ἀπολογίαν·

εἰς γὰρ ὑπόστολὴν τὴν τοῦ Αἰολικοῦ τὰ τοῦ τόνου παρεπέμφθη. διὰ τοῦτο καὶ ἡ αἰτιατικὴ πτῶσις ἀπολυθεῖσα τῶν ἐμποδιζόντων, λέγω τῆς ἐμπτώσεως τῶν χρόνων, ἀναγκαίως τὴν ἔγκλισιν παρεδέξατο. παραπεμπτέον γὰρ ἐκεῖνον τὸν λόγον, καθ' ὃν αἱ γένους παρεμφατικαὶ ἀνέγκλιτοί εἰσι, καὶ διὰ τοῦτο οὐκ ἐγκλίνεται ἡ αὐτός· γένος γὰρ οὐκ ἐπίστανται ἡ ἔγκλισις οὐδὲ ἄλλο τι τῶν παρεπομένων, ὅπου γε καὶ ἐν συνδέσμοις καὶ ῥήμασι καὶ ἔτι ἐν ἐπιῤῥήμασιν ἐγκλιτικὰ γίνεται καὶ ἐν τριγενεῖ τῷ τίς.

Εἴρηται οὖν διὰ τί ἡ ἐκεῖνος καὶ ἡ οὗτος οὐκ ἐνεκλίθησαν. ἀλλ' οὐδ' ὅτε ἄρθρα εἰς σύνταξιν ἀντωνυμίας παραλαμβάνεται, ἔγκλισιν ἀναδέχεται, οὐ καθὸ γένους εἰσὶ παρεμφατικά, ἀλλὰ καθὸ ἄρθρα ὄντα τῇ φύσει ἀδυνατεῖ εἰς ἔγκλισιν παραλαμβάνεσθαι· τόπον γὰρ ἐπέχει ἐναντίον τῇ ἐγκλίσει, λέγω τῶν προταχτικῶν, οὐ μαχομένων τῶν ὑποταχτικῶν, ἐπεὶ δόξειε μὴ ἐμποδίζεσθαι τὰ τῆς ἐγκλίσεως ἐν τοῖς ὑποταχτικοῖς. ἦν γὰρ καὶ αὐτὰ προταχτικά, τὴν μὲν ἀναφορὰν ἐπιστρέφοντα εἰς τὰ προκείμενα, ἐν ἀρχῇ δὲ λόγου παραλαμβανόμενα εἰς σύνταξιν ῥηματικήν,

ὃς μάλα πολλά
πλάγχθη,
ἠ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,

τῆς ἐγγινομένης στιγμῆς ἐπιμαρτυρούσης τῇ ἀρ-

κτικῇ συντάξει τῶν ἄρθρων.

Ὀρθοτονοῦνται καὶ ὅσαι συντάσσονται τῇ αὐτός ἐπιταγματικῇ,

ἤ τι Μυρμιδόνεσσι πιφάσκεαι ἢ ἐμοὶ αὐτῷ,

σοὶ δ' αὐτῷ,
οὐδὲ σεῦ αὐτῆς,
οὐδ' ἐμοὶ αὐτῷ
θυμὸς ἐνὶ στήθεσσι σιδήρεος.

τά γε μὴν τοῦ τρίτου οὐκ ἐξωμάλισται, καθότι οὐδ' ἀληθὴς λόγος παρεδείχθη τὸ τὰς κατὰ τὸ τρίτον πρόσωπον ὀρθοτονηθείσας πάντως μεταλαμβάνεσθαι εἰς συνθέτους. ὡς γάρ ἐστι ψευδὴς ὑπόληψις καὶ ὡς οὐκ ἐξωμαλίσθη καὶ ὡς οὐ τόνου ἐναλλαγὴ αἰτία γίνεται συνθέτου μεταλήψεως, εἰρήσεται κατὰ τὸ ἑξῆς. ἐντεῦθεν οὖν ἐνεκλίθη τὸ

ἀλλά οἱ αὐτῷ
Ζεὺς ὀλέσσειε βίην πρὶν ἡμῖν πῆμα γενέσθαι

142

καὶ τὸ

Εὐρύαλος δέ ἑ αὐτὸν ἀρισσάσθω ἐπέεσσιν,

ὠρθοτονήθη δὲ τὸ

ἀμφὶ ἓ παπτήνας·

ἄλογόν τε δοκεῖ τὸ οἱ τ' αὐτῷ, δικόντος τοῦ λόγου ἐπὶ ἁπάντων ὁμοίως. ἔσται μέντοι ἡ σύνταξις εἰς ἔμφασιν πλείονα διαστολῆς παρα-

λαμβανομένη, ἐμὲ αὐτὸν ἐτίμησε, σὲ αὐτὸν ἐμέμψατο. ἐν προτάξει γοῦν ἀπάντοτέ εἰσιν αἱ ἀντωνυμίαι, καθὸ ἔχονται τοῦ ὀρθοῦ τόνου, ὡς γε ἐδείχθη καὶ τοῖς προκειμένοις. εἰ μέντοι τὰ τῆς συντάξεως ἀναστραφείη, οἷόν τέ ἐστι καὶ ἐγκλίνεσθαι τὴν ἀντωνυμίαν,

αὐτῷ τοι μετόπισθ' ἄχος ἔσσεται,
αὐτόν σε φράζεσθαι ἅμ' Ἀργείοισιν ἄνωγεν.

οὐ τοῦτο δέ φημι, ὡς οὐχ οἷόν τε καὶ ἐπὶ τῆς τοιαύτης συντάξεως ὀρθοτονεῖν, ἀλλ' ὡς ἀφορμὴν ἔχει ἐγκλίσεως ἡ τοιαύτη σύνταξις,

αὐτόν με πρώτιστα συνοπιστῆρα γαίας
ἐςδέξαι τεμενοῦχον.

19 Πρὸς δὲ τοὺς οἰομένους τὴν αὐτὸς συμπαραλαμβάνεσθαι εἰς διαστολὴν γένους συγκεχυμένου κατὰ τὴν φωνὴν βραχὺς ἀρκέσει λόγος, ὡς γε καὶ πρόκειται, ὡς οὐ δέονται αἱ ἀντωνυμίαι τοῦ διαστέλλοντος τὸ γένος ἢ ὑπὸ δεῖξιν πίπτουσαι ἢ ὑπὸ ἀναφοράν. τί δ' ἂν εἴποι τις ἐπὶ τῆς τοιαύτης συντάξεως, οὗτος αὐτός, ἐκεῖνος αὐτός,

ὅδ' αὐτὸς ἐγώ;

φαίνεται δὲ καὶ ὅτι καὶ αἱ μὴ ἐπιτεταγμέναι διήρθρωσαν τὸ γένος καὶ ἄδηλον ἔσται κατὰ τὸ 143 γένος τὸ

ἐμεῦ δ' ἔλετο μέγαν ὅρκον.

περισσὸν ἡγητέον πρὸς εὐήθεις ὑπολήψεις ἐπὶ πλέον ἀντιλέγειν.

Ὀρθοτονοῦνται μόνως καὶ ὅσαι ἐν τῷ αὐτῷ προσώπῳ τὰ ῥῆμα ἔχουσιν, εἴ γε ἐν τῷ σὲ γὰρ ἄζομαι τὸ μὲν ἄζομαι ἐν πρώτῳ ἐστὶ προσώπῳ, τὰ δὲ σέ ἐν δευτέρῳ, οὐ μὴν ἐν τῷ·

σὲ γὰρ αὐτὴν παντὶ εἴαχεις·

τό τε γὰρ εἴαχεις καὶ τὰ σέ τοῦ αὐτοῦ προσώπου. ἔστι γε μὴν τὴν προτέραν σύνταξιν καὶ ἐγκλίναντα φάναι ἄζομαί σε, οὐ μὴν τὴν δευτέραν· ἐδείχθη γὰρ ἐντελέστερον ὡς ἀδύνατόν ἐστι τὰς ἀντωνυμίας ἐγκλιθῆναι συνερχομένας τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρόσωπον. καὶ ἕνεκά γε τούτου μόνως αἱ τῆς εὐθείας ὀρθοτονοῦντο, ἐπεὶ πάντοτε συμφέρονται τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρόσωπον· τῶν γε μὴν καὶ ἐν μεταβάσει γινομένων ἐφικτὰ καὶ τὰ τῆς ἐγκλίσεως ἐχέτω. οὐ τοῦτο δέ φημι, ὡς πάντως ἐγκλιθήσονται ἀποστᾶσαι τῶν ῥημάτων, ἀλλ' ὡς καὶ ἔνεστί ποτε αὐτὰς ἐγκλίνεσθαι. ὑγιῶς ἄρα πάλιν προελθοῦσαι καὶ αἱ πλάγιαι τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρόσωπον τὴν ὀρθὴν ἀναδέξονται,

οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον·

ζωγρεῖτ', αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι,

τὰ τῆς τοιαύτης χρήσεως ἀρχαϊκώτερα ὄντα παρεφθάρη μεταγενέστερον ἐπινοηθείσης τῆς ἀντ' αὐτῶν συνθέτου μεταλήψεως, εἰς ἣν καὶ μεταλαμβάνομεν τὰς προκειμένας συντάξεις.

144 ἐντεῦθεν γοῦν ἡ Ὁμηρικὴ ποίησις ἀπροσδεής ἐστι

τῆς συνθέτου χρήσεως, καθὸ γινώσκει ἡ ποίησις τὸ ἐμέ φημι. σαφὲς γὰρ ὅτι, εἰ ἀντὶ τοῦ τοιούτου ἐπενοήθησαν αἱ σύνθετοι, περισσόν ἐστι συγχρῆσθαι τῇ ἁπλῇ συντάξει· κακία γὰρ τὸ τοιοῦτον, ὡς γε εὐκαιρότερον ὑπὲρ τῶν τοιούτων κατὰ τὰ ἑξῆς εἰρήσεται. Ἔνθεν δύο μέρη λόγου ἐστὶ τὸ

πυκάσασά ἑ αὐτήν,

καὶ κατὰ τὸν προκείμενον λόγον, πάνυ ἀκριβέστατον ὄντα, καὶ καθὸ ἐν ταῖς ἄλλαις πλαγίαις τὰ τοῦ μερισμοῦ ἀναμφίλεκτά ἐστιν· ἓν γὰρ αὐτοῦ ἐστὶ καὶ ἕοι αὐτῷ, ὁπότε καὶ κατὰ τὸ δεύτερον πρόσωπον ὡς παραθέσεως οὐσίας ἐνέθηκε τὸν γὰρ σύνδεσμον,

σὲ γὰρ αὐτὴν παντὶ ἔοικεις.

προφανῶς οὖν λύεται τὸ ἀμφίβολον τῶν προκειμένων ἀντωνυμιῶν διὰ τῆς ἀναμφιλέκτου παραθέσεως τῶν ἄλλων πλαγίων. ὁ αὐτὸς λόγος καὶπὶ τοῦ

μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ·

κατὰ γὰρ παράθεσιν τὰ τῆς συναλοιφῆς ἐγένετο, τοῦ πλήρους ὄντος ἐμὲ αὐτόν, ὡς ἔχει τὸ

εἰ μή τίς σ' αὐτὸν κτείνῃ δόλῳ

καὶ

εἰ μὲν δὴ ἕταρόν γε κελεύετέ μ' αὐτὸν ἑλέσθαι.

ἐφ' ὧν καὶ ἐγκλιτικώτερον παρελήφθησαν αἱ

ἀντωνυμίαι, καί περ ἐπιτεταγμέναι· ὀρθοτονηθεῖσαι γὰρ ὡς ἀκαταλλήλου λόγου ἔμφασιν ἐποιοῦντο. Διὸ καὶ μάτην τὰ τοιαῦτα ὑπ' ἐνίων προσεπινεύσθη,

τὴν αὐτοῦ φιλέει,

145 αὐτόν μιν πλαγῇσιν ἀμπελίῃσι δαμάσσας,

μέγα μὲν κλέος αὐτῆς ποιεῖται,

καὶ ἄλλα πλεῖστα. ὡς γὰρ ἐν ταῖς προκειμέναις συνταξεσιν ἀπεδείξαμεν ὅτι ἐκ παρεπομένων τῷ λόγῳ ἐλλείπουσαι λέξεις νοοῦνται, τὸν αὐτὸν δὴ τρόπον καὶπὶ τούτων ἔστι παραστῆσαι. συνηθέστερόν πως ἐλλειπτικός ἐστι τῶν προκειμένων μορίων, ἀρχούμενος διὰ τῆς συντάξεως τοῦ λόγου τὸ λεῖπον ἐμφανίσαι,

αὐτὸς νῦν ἴδε πῶμα·

ἡ γὰρ αὐτός συμφέρεται ταῖς ὀρθοτονουμέναις ἀντωνυμίαις, καὶ τὸ μὲν ἴδε δύναται μὴ ἐλλείπειν, τό γε μὴν αὐτὸς ἴδε πάντως ἐλλείπει τῷ σύ· εἰς γὰρ τοῦτο ἡ αὐτός συμπαραλαμβάνεται καὶ κατὰ τὸ πρῶτον καὶ δεύτερον, ἵνα τὰς συνούσας ἀντωνυμίας ὀρθοτονήσῃ. ὁ αὐτὸς λόγος καὶπὶ τοῦ

αὐτὸς ἐκὼν οἰ δῶκα·

πάλιν γὰρ μόνον τὸ ῥῆμα οὐ λείπει, τὸ μέντοι ὅλον, ὡς πάλιν ἐγκειμένης τῆς ἐγώ, αὐτὸς ἐγώ οἰ δῶκα. οὕτως ἔχει καὶ τὸ

αὐτῶν γὰρ ἀπωλόμεθ' ἀφραδίῃσιν,

αἰτούσης τῆς συντάξεως τὸ ἡμῶν αὐτῶν. ἔστιν οὖν ὁμοίως καὶπὶ τῶν προκειμένων τὸ πλῆρες τὴν ἓο αὐτοῦ, ὡς γε καὶ κατὰ πληθυντικὴν σύνταξιν σφῶν αὐτῶν καὶ σφέας αὐτούς. ὁ αὐτὸς λόγος καὶπὶ τοῦ

αὐτόν μιν πλαγῆσιν,

τάχα τῆς μίν δυναμένης ἀναπληροῦν τὸ λεῖπον τῆς ἀντωνυμίας. προστίθημι τὸ τάχα, ἐπεὶ ἐν ἑτέροις παρέλκουσα εὑρίσκεται,

καὶδ δέ μιν αὐτόν

εἰλύσω ψαμάθοισι·

ἢ μιν αὐτὸν πατρὸς ἐάσειε μνησθῆναι.

οὐ μέντοι ἀνάγκη ἐπὶ τοῦ

μέγα μὲν κλέος αὐτῆς

ποιεῖται

λείπειν τὴν ἀντωνυμίαν, τοῦ ποιεῖται νῦν ἐν ἴσῳ παραλαμβανομένου τῷ γίνεται, καθότι καί φαμεν ποιεῖται ἀγορά ἐν ἴσῳ τῷ γίνεται. Τὸ δὲ μεῖζον, αἱ σύνθετοι δοκοῦσιν ἐντελέστεραι εἶναι ἀπὸ τοῦ ἓ ἀρχόμεναι, ἑαυτοῦ ἤκουσεν ὁ δεῖνα, ἑαυτοὺς ὕβρισαν, ἑαυτὸν ἐτίμησε· καὶ προφανὲς ὅτι, εἰ τὰ ἐντελέστερα τῶν σχημάτων οὔποτε παρ' αὐτῷ εὑρέθη, οὐδὲ τὰ ὑποσυνηλιμμένα, εἴ γε παντὸς πεπονθότος προϋφέστηκε τὸ ὁλόκληρον. εἴ περ οὖν καὶ αὐταὶ αἱ λέξεις διὰ τῆς τῶν συλλαβῶν συμμετρίας καὶ τὸ πλεοναζον ἐπιδείκνυνται καὶ τὸ ἐνδέον, οὐ βέβαιον κατὰ τὸ ἐξ οὗ

τῶν ἐπηυξημένον τῇ συμμεμετρημένῃ τῶν λέξεων συνόδῳ καὶ τὸ πλεοναζον καὶ τὸ λεῖπον δείκνυσθαι. ὑθείξαμεν ὡς καὶ ἐπὶ τῶν ἄρθρων τοῦ λόγου τὸ τέρημα ἀνεπλήρου τὰ λείποντα ἄρθρα· οὐ παρηλλαγμένον οὖν καὶ τὸ λείπειν ταῖς τοιαύταις ἀντωνυμίαις τοὺς προκειμένους λόγους. Εἴ πῃ οὖν αἱ κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον ὀρθοτονούμεναι ἀντωνυμίαι εἰς σύνθετον μεταλαμβάνονται σωνόντος τοῦ ῥήματος ἰσαρίθμως κατὰ τὸ αὐτὸ πρόσωπον, καὶ μένουσι κατὰ τὴν αὐτὴν ἁπλότητα τοῦ ῥήματος ἐν ἑτέρῳ προσώπῳ νοουμένου, ὡς τὸ

ἐμεῦ δ' ἀπὸ μούνου Ἀχαιῶν
εἵλετο,
σεῦ δ' ἐπεὶ ἐξέλετο ψυχήν,

147 πᾶσα ἀνάγκη καὶπὶ τοῦ τρίτου προσώπου ταὐτὸν ἐγχωρεῖν, συνεπισχυούσης καὶ τῆς ἐγγενομένης χρήσεως. ἔτι κατ' ὀρθὸν τόνον ἀναγνωστέον τὸ

μνηστῆρεσσι μάχεσθαι, ἀμυνέμεναι δὲ οἷ αὐτῷ.

τὸ γὰρ ἀμύνειν ἐν προσώπῳ τῷ τοῦ Ὀδυσσέως νοεῖται, οὐ τῷ τῆς Ἀθηνᾶς ἀπεικασθείσης τῷ Μέντορι· μὴ πεισάτω σε ὁ Ὀδυσσεὺς ἡμῖν μάχεσθαι, αὐτῷ γε μὴν ἀμύνειν· εὐλόγως τῆς ἀντωνυμίας ὀρθοτονηθείσης πρὸς τὴν ἀντιδιαστολὴν τοῦ ἡμῖν. τὸ γὰρ

ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς

εἰς σύνθετον μεταλαμβάνεται, ἐπεὶ τὸ γένητο ταὐτὸν ἦν πρόσωπον τῷ ἀντωνυμικῷ· ἐγέννησε γὰρ παῖδα οὐδὲ κατ' ὀλίγον ὅμοιον ἑαυτῷ· πρόδηλον γὰρ ὅτι ἡ ἁπλῆ μετάληψις ἕτερον πρόσωπον ὑπαγορεύει τοῦ Τυδέως. καὶ τὸ

πτωχὸν δ' οὐκ ἂν τις καλέοι τρύξαντα ἢ αὐτόν

μόνως ἀντωνυμίαν ἁπλῆν ὑπαγορεύει· οὐ γὰρ κλητέος ὁ πτωχός, ἵνα μὴ αὐτόν, τὸν καλέσαντα, καταπονήσῃ, εἴ γε χρειώδης ἡ ἀναδοχὴ τῶν ἄλλων μεταλήπτων, τέκτονος ἢ ἰατροῦ ἢ μάντεως. οὕτως ἔχει καὶ τὸ

ἀλλὰ τόδ' ἡμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ σοὶ αὐτῷ

ἔπλετο,

πάνυ ὑγιῶς τῶν ἀντωνυμιῶν τὸ δέον τοῦ τόνου ἀναδεξαμένων ἕνεκα τῆς παρακολουθούσης πρὸς ἄλληλα διαστολῆς, συνούσης ἔτι καὶ τῆς συμπλοκῆς. καὶπεὶ πάλιν τὸ ἔπλετο κοινὸν κατ' ἀμφοτέρων τῶν ἀντωνυμιῶν παρελαμβάνετο, οὐ δυνάμενον ἑτέρῳ προσχωρῆσαι κατὰ τὸ αὐ-
148 τὸ πρόσωπον, ἵνα τὸ σύνθετον μεταληφθῇ, ἀναγκαίως συνετήρει τὰς ἀντωνυμίας εἰς ἁπλοῦν σχῆμα, εἴ γε τὸ ἐν τῇ συνθέτῳ ἀντωνυμίᾳ ῥῆμα οὐ δύναται ἕτερον πρόσωπον γινώσκειν· ὡς δὲ προείρηται, τὸ ἔπλετο κοινὸν κατ' ἀμ-

τ' ἀμφοτέρων εἰλῆφθαι, ἔχον τὴν διάθεσιν ἑξαθεν τῶν δύο προσώπων, ὡς εἴ τις λέγοι ἐγένετο Τρύφωνι καλῶς, δηλονότι ὑπό τινος περιστάσεως. προείρηται δὲ ὅτι, εἰ μὴ αἱ διαθέσεις ἐξ αὐτῶν τῶν προσώπων ἐγγίνονται, δυνατὸν ἐπινοηθῆναι τὴν σύνθετον ἀντωνυμίαν. οὕτως ἔχει καὶ τὸ

ὅς τις δὴ τ' ἐπέοικεν,

ὅς τις Ἀγαμέμνονι ἔοικεν· οὐ γὰρ νῦν ὁ λόγος ἀπαιτεῖ τὸ τὸν Ἀγαμέμνονα ἑαυτῷ ἐοικέναι, τοῦ ὅς τις ἐπὶ τὸ ἀόριστον συντείνοντος τοῦ τε δὴ ἐπὶ τὸ ὡρισμένον πρόσωπον τοῦ Ἀγαμέμνονος.

τοὺς δ' ἄγαγον ζωοὺς σφίσιν ἐργάζεσθαι ἀνάγκῃ·

οὐ γὰρ ἄγονται οἱ αἰχμάλωτοι ἵνα ἑαυτοῖς ὑπηρετῶσι, τοῖς γε μὴν ἐπικρατήσασιν. οὕτως ἔχει καὶ τὸ

σφίσι δ' αὐτοῖς δαῖτα πένεσθαι·

οὐ γὰρ οἱ μνηστῆρες ἑαυτοῖς τὰ πρὸς τὴν δαῖτα ὑπουργίζουσι. Πῶς οὖν νῦν ἄλογον παραδιώκειν ὡς ἄλογον τὸ

οἵ τ' αὐτῷ, ἐπεὶ οὔ τι θεῶν ἐν θέσφατα ἤδη,

κατὰ τρόπους πλείονας δυνάμενον μᾶλλον κατορθοῦσθαι τῶν προειρημένων; εἰ γὰρ δὴ καὶ ἦν ἀληθὲς τὸ πάντως τὰς ὀρθοτονουμένας εἰς 149 συνθετον μεταλαμβάνεσθαι, εἶχεν ὑποταραλτησιν τὸ σχῆμα, καθότι αἱ ὀφείλουσαι ἅπαξ

ἐγκλίνεσθαι εἰς ἀρχὴν τοῦ λόγου γινόμενα εἰς ὀρθὴν τάσιν μεταλαμβάνονται, ὡς ἔχει τὸ

ἡμέας ὑβρίζοντες,

ἐμὲ δ' ἔγνω καὶ προέειπεν.

ἀλλὰ καὶ συμπέπλεκται, τό τε συνερχόμενον ῥῆμα πληθυντικόν, ἔχον τὴν σύνταξιν τοιαύτην, ἐμοὶ ἐγένοντο, σοὶ ἐγένοντο, οἱ ἐγένοντο. διὸ καὶ ἕνεκα τοῦ τοιούτου μεταφέρεται εἰς τὸ ἑτεύξεν, ἵνα ἑνικὸν γενόμενον συμφωνήσῃ κατὰ ἑνικὸν τῷ οἱ τ' αὐτῷ, ἅπασι κακὸν Τρώεσσιν ἑτεύξε καὶ ἑαυτῷ, ἢ ὡς ὁ Κόμανος ἐν ὑπερβατῷ ἤκουεν, Ἀλεξάνδρῳ ἐτεκτήνατο πᾶας καὶ ἑαυτῷ,

αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο,

ὡς φυσικῆς τινὸς ἀκολουθίας νόμον θεμένης τοῦ αὐτὸς τὴν ὀρθὴν τάσιν ἐν τρέτοις προσώποις συνθέτου ἀντωνυμίας μεταλήψιν ὁμολογεῖν. τί γὰρ ἂν ποιήσειαν ἐπὶ τῶν καλουμένων κτητικῶν ἀντωνυμιῶν, ὧν ἡ θέσις ἀπαράδεκτος ἐγκλιτικῆς τάσεως; ἐφ' ὧν γε δεδείχεται ὡς κατὰ πᾶσαν πτῶσιν μενούσης τῆς αὐτῆς τάσεως τό τε ἁπλοῦν σχῆμα τῶν ἀντωνυμιῶν εὐπαράδεκτον καὶ ἔτι τὸ σύνθετον, τῆς τοῦ ῥήματος συντάξεως πᾶν τὸ τοιοῦτον διαστελλούσης. πῶς οὖν οὐκ ἀπαναγνωσμα τὸ

ἀλλά οἱ αὐτῷ

κατ' ἔγκλισιν ἀναγνωσθέν, ἀντιδιασταλτικῆς ἐπιφερομένης τῆς περὶ ἡμῶν; Ἀπόχρη εἰς ἐντελῆ διάγνωσιν τὰ προκείμενα ὑποδείγματα.

Οὐ μὴν περισσὸν ἡγητέον παραθέσθαι τὸ εὔχρηστον τῆς γενομένης ἀφορμῆς κατὰ τὸ τρίτον, ὡς τὸ μὲν ὀρθοτονούμενον εἰς τὸ σύνθετον ἐχώρει, τὸ δὲ μὴ οὕτως ἔχον εἰς ἁπλῆν μετάληψιν. Ἡ ἐν τοῖς πρώτοις καὶ δευτέροις προσώποις σύνταξις προφανεστάτη ἐστὶν ἔν τε τῷ διαβιβαζομένῳ προσώπῳ ἐφ' ἕτεραν καὶ τῷ μὴ οὕτως ἔχοντι, ὡς ἔχει τὸ

σὲ γὰρ αὐτὴν παντὶ εἴσκεις,

καὶ τὸ

ἀλλ' ἐμὲ μὲν σὺ σάωσον

πρὸς τὸ

ἐμὲ λύσομαι·

τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὁμοίων. ἡ μέντοι κατὰ τὰ τρίτα πρόσωπα σύνταξις πάνυ πώς ἐστι δυσπαρακολούθητος· παμπόλλων γὰρ ὄντων τῶν τρίτων καὶ διὰ μιᾶς λέξεως νοουμένων λέγω τῆς ῥηματικῆς ἢ καὶ ἔτι τῆς ἀντωνυμικῆς, παρείπετο διὰ τὴν ὑποῦσαν συνέμπτωσιν τά τε ἐν μεταβάσει πρόσωπα νοούμενα καὶ ἔτι τὰ ἐν τῇ αὐτοπαθείᾳ τῆς αὐτῆς συντάξεως ἔχεσθαι. ἡ δὲ ἀντωνυμία καὶ αἱ σύζυγοι κατὰ τὰς πλαγίας πρόδηλον ὅτι τρίτου εἰσίν· ἀλλὰ καὶ τὸ κλίνεται καὶ ἅπαντα τὰ τοιαῦτα ῥήματα ὁμοίως τρίτου ἐστὶ προσώπου, εἰ δὴ κατὰ τὴν σύνταξιν τῶν ἀντωνυμιῶν δύο τρίτα ποιήσει, ἓν μὲν τὸ ἐκ τοῦ ἀντωνυμικοῦ προσώπου,

ἕτερον δὲ τὸ ἐκ τοῦ ῥήματος. γενήσεται γὰρ ἓο κήδεται, ἐν δυσὶ προσώποις, αὐτοῦ κήδεται, δι' οὗ ἐμφανίζομεν τίς τίνος κήδεται. ἀλλὰ κἀκεῖνο ἐνδεκτόν ἐστι τό τινα ἑαυτοῦ κήδεσθαι, 151 καὶ δῆλον ὅτι οὐ δι' ἄλλων πάλιν συντάξεων τὸ τοιοῦτον εἰρήσεται ἢ τῶν αὐτῶν· πάλιν γὰρ ἐγγενήσεται τὸ ἓο κήδεται. ἔνθεν οὖν δυσέφικτον ἐγίνετο διαγνῶναι πότερόν τίς τινος κήδεται ἢ οὗ τινος μέν, ἑαυτοῦ δέ. φέρε γὰρ τὸν Εὔμαιον ἑαυτοῦ κήδεσθαι· τί ἂν γένοιτο ἄλλο ἢ τὸ

ἐπεὶ ἓο κήδετο λίην;

ἢ ταῦ Ὀδυσσέως, καὶ πάλιν προσεχώρει τὸ

ἐπεὶ ἓο κήδετο λίην.

πρὸς τὸ τοιοῦτο οὐχ εὐτρεπίζοντο αἵ τε ὀρθοτονούμεναι εἰς τὸ ἀμετάβατον τοῦ πρὸσώπου, λέγω εἰς τὸ σύνθετον, αἵ τε ἐγκλινόμεναι εἰς τὸ ἁπλοῦν, τουτέστι τὸ διαβιβαζόμενον εἰς ἕτερον πρόσωπον.

Καὶ τὸ μὲν πιθανὸν τοῦ λόγου τοιοῦτον ἦν, χρὴ μέντοι τὸν νοῦν ἐπερείσαντας μὴ διὰ τοῦ τόνου διδάσκεσθαι, διὰ δὲ τοῦ παρεπομένου λόγου, καθά περ καὶ ἐπ' ἄλλων ἀπείρων ἀμφιβόλων διακρίσεις παρέπονται ἐκ τῶν ἑπακολουθούντων τοῖς λόγοις, οὐκ ἐξ ἐγκλίσεων οὐδὲ ἐξ ὀρθῶν τάσεων. καθά περ οὖν εἴπομεν ὅτι, εἰ καὶ δῴη τις ἐν τῇ συνούσῃ τάσει διάκρισιν τῶν ἁπλῶν καὶ συνθέτων, ἀνάγκη πᾶσα ὑποστρέψαι εἰς ὃν προεκτεθείμεθα

λόγων. αἱ γὰρ κτητικαὶ τῶν ἀντωνυμιῶν τόνῳ οὐ διορίζόμεναι τὸ δισσὸν τῆς μεταλήψεως ἔχουσιν,

οὔνεκ' ἄρ' οὐχ ᾧ πατρὶ χαριζόμενος,
πάρ, τε κασιγνήτῳ Θρασυμήδεϊ καὶ πατέρι ᾧ·

δῆλον γὰρ ὡς τῷ ἑαυτοῦ κατὰ σύνθετον προφοράν, καὶ οὐδαμόσε ἐναλλαγὴ τοῦ τόνου διέστειλε τὸ σημαινόμενον διάφορον ὄν, τὸ μέντοι ἀκόλουθον τοῦ λόγου, ᾧ χρὴ ὁμοίως προσέχοντας καὶ ἐπὶ τῶν προκειμένων ἀντωνυμιῶν ταὐτὸν ἀποτελεῖν, καὶ μὴ παρὰ τὰς τῶν τόνων ἐναλλαγὰς ἐπιταράσσειν καὶ τὰς διανοίας ἢ καὶ καταμέμφεσθαι τὰς ποιητικὰς συντάξεις, ὅτι μὴ τῇ προκειμένῃ τηρήσει ὑπαντήσεται τὰ τοῦ λόγου.

Ἀκολούθως ἰτέον καὶ ἐπὶ τὴν κτητικὴν σύνταξιν τῶν ἀντωνυμιῶν.

21 Αἱ κτητικαὶ ἀντωνυμίαι δύο πρόσωπα παριστᾶσαι, λέγω τό τε τοῦ κτήματος καὶ τὸ τοῦ κτήτορος, δεόντως καὶ ἐν συντάξεσι τρισὶ καταγινήσονται, εἴ γε αἱ ταύτων πρωτότυποι μονοπρόσωποι οὖσαι δύο συντάξεις ἀνεδέξαντο, καθὼς ἀπεδείχθη, ἔχοντος τοῦ λόγου τῇδε. Τὰ ῥήματα τὰ συνάπτα ταῖς κτητικαῖς ἀντωνυμίαις ἤτοι ἐκ τοῦ προσώπου ἐστὶ τοῦ ὑπὸ τὴν κτῆσιν πεπτωκότος ἢ ἐκ τοῦ κτησαμένου ἢ ἐξ οὐδετέρου μὲν τούτων, ὑπ' ἄλλου δέ τινος ἔξωθεν παραλαμβανομένου. καὶ ἔστι μὲν

τοῦ πρώτου ὁ ἐμὸς ἵππος τρέχει, ὁ ἐμὸς ἀγρὸς εὐφορεῖ· ὁ αὐτὸς λόγος καὶ ἐπὶ δευτέρου καὶ τρίτου. ἡ τοιαύτη σύνταξις πάντως ἐν ὀρθῇ πτώσει ἐστί, καθὸ τὰ ῥήματα πλαγίαις μὲν οὐ συντάσσονται κατὰ τὸ αὐτὸ πρόσωπον, ὀρθαῖς δὲ ἁπάντοτε. τοῦ δὲ δευτέρου τὸν ἐμὸν ἀγρὸν ἔσκαψα, τὸν ἐμὸν φίλον ἔπεισα, τὸν σὸν υἱὸν ἐπαίδευσας. τοῦ δὲ τρίτου τὸν ἐμὸν υἱὸν ἐδίδαξε, τὸν σὸν φίλον ἔπεισε· πρόδηλον γὰρ ὅτι ἡ τοιαύτη σύνταξις
153 ἐκτός ἐστι τῶν δύο προσώπων τῶν ἐν ταῖς κεντικαῖς ἀντωνυμίαις νοουμένων. καὶ εἰσὶ πάντοτε ἐν πλαγίαις πτώσεσιν αἱ τοιαῦται συντάξεις, καθὸ τὸ ῥῆμα ἐν ἑτέραις εὐθείαις νοεῖται, ἐχθρόν ἐμὸν ἐλύπησας, τουτέστι σύ· ἐχθρὸν ἐμὸν ἐλύπησε Τρύφων ἤ τις ἄλλος τῶν δυναμένων κατὰ τὸ τρίτον παραλαμβάνεσθαι. Ἡ δὲ πρὸς τὸ κτῆμα συντρέχουσα διάθεσις, εἴτε κατ' ἐνεργητικὴν ἢ ἐκφορὰν εἴτε κατὰ παθητικήν, μόνως ἀναλύεται εἰς ἁπλῆν ἀντωνυμίαν, ὡς ἔχει τὰ τοιαῦτα, ἐμὸς διαλέγεται φίλος, σὸς ὑβρίζεται δοῦλος,

ὅθ' ἑὸς δόμος ἀμφεκάλυψεν
(ἔστι γὰρ ὅτε ὁ αὐτοῦ με δόμος ἐκάλυψεν)
κεῖσέ με νοστήσαντα·
σὸς δέ που ἔκφυγε κῆρας ἀδελφιός
(ὁ ἀδελφός σου ἐξέφυγεν)·
ἐμὸς δέ κε καὶ παῖς εἴης·

πατὴρ δ' ἐμὸς ἄλλοθι γαίης.

ὁ αὐτὸς λόγος καὶπὶ τῶν ὁμοίων. Οὐκ ἀπεμφαῖνον μέντοι ἐστὶ καὶ τὸ συνταττόμενον ῥῆμα ἐπὶ τὸν κτήτορα συντείνειν, εἰ σημαίνοι ὕπαρξιν· εἰ γὰρ ἄλλα τι, τὰ τοῦ λόγου ἀκατάλληλα ἂν γένοιτο. οἷόν τε γάρ ἐστι φάναι ἐμός εἰμι οἰκέτης, ὃ πάντως μεταληφθήσεται εἰς σύνθετον, ὅτε φαμὲν οὕτως, ἐμαυτοῦ εἰμὶ οἰκέτης· ἀσύστατον δὲ τὸ τοιοῦτον, ἐμὸς θεράπων γράφω. δέον γὰρ γράφει, εἴ γε πρὸς τὴν ὑπακουομένην τρίτου προσώπου εὐθείαν συντρέχει τὸ ῥῆμα· ἢ εἰ περ ἐν δευτέρᾳ γένοιτο, πάντως καὶ μετὰ τῆς ὑπαρκτικῆς μετοχῆς, ἐμὸς ὢν θεράπων τρέχεις. ἐντεῦθεν οὖν δεῖ νοεῖν ὡς πᾶν ῥῆμα ἐκ τοῦ κτήτορος γενόμενον, λέγω κατὰ διάθεσιν τὴν πρὸς τὸ κτῆμα, πάντως σύνθετον μεταλήψιν ποιεῖται, εἰ ἐγγέναιτά τις διαστολή, τὸν ἐμὸν υἱὸν διδάσκω, τὸν σὸν υἱὸν ἐπαίδευσας; πάνυ ἀναγκαίως. οὐ γὰρ ἔτι τὸ ῥῆμα ἐκ τῆς κατὰ τὰ τέλος εὐθείας συνίσχετο, μετῆκε δὲ ἐπὶ τὸ ἀντωνυμικὸν πρόσωπον· πράττεται δὲ ὅτι, ἐὰν ῥῆμα κατὰ τὰ αὐτὰ πρόσωπον συντάσσηται πλαγίᾳ ἀντωνυμίᾳ, πάντως σύνθετον μεταλήψιν ἀπαιτεῖ, ὡς τὸ

ἐμέ φημι

καὶ τὰ ὅμοια. ἀλλὰ μὴν καὶ δέδεικται ὡς αἱ κτητικαὶ ἀντωνυμίαι μόνης γενικῆς εἰσὶ πτώ-

σεως, εἰς ἣν καὶ μεταλαμβάνονται, καὶ ὡς αἱ ἐγκλινόμεναι πτώσεις τῶν ὑπακουομένων κτημάτων εἰσί. δυνάμει γὰρ ὁ λέγων οὕτως, τὸν ἐμὸν δοῦλον ἔπαισα, φησὶ τὸν ἐμοῦ δοῦλον ἔπαισα, ὃ περ οὐκ ἄλλο τι γενήσεται ἢ τὸν ἐμαυτοῦ. ἔνθεν τὰ τῆς ἀναλύσεως, εἰ μὲν ἐν ἀπολύτῳ εἴη προσώπῳ, εἰς ἐγκλινομένην μεταλαμβάνεται, ἁπλῆν ἀντωνυμίαν· εἰ δὲ δέοιτο ἀντιδιαστολῆς, πάντως εἰς σύνθετον. διὰ καὶ μόνως αἱ σύνθετοι ὀρθοτονούμεναί εἰσι· χρειώδης γὰρ ἦν ἡ ἐξ αὐτῶν διαστολή. παρὸν οὖν φάναι πρὸς ταῖς ἐμαῖς θύραις ἔστηκα καὶ μεταλαβεῖν πρὸς ταῖς θύραις μου ἕστηκα, ἀλλὰ καὶ

πρὸς ταῖς ἐμαυτοῦ θύραις ἕστηκ' ἐγώ,

καὶ πάνυ ἀναγκαίως τοῦ Μενάνδρου τὸν σύνθετον παραλαβόντος, συμφερομένην ὀρθοτονουμένῃ τῇ ἕστηκα ἐγώ· ἔμφασιν γὰρ ἔχει ὡς οὐ πρὸς ταῖς ἄλλου. Προφανῶς καὶπὶ τοῦ τρίτου προσώπου καὶ τῆς συντάξεως συντείνει, αὐτὰ μόνον ἐπιστάσεως τῆς αὐτῆς παρακολουθούσης ἅς καὶ τοῖς προκειμένοις ἔφαμεν δεῖν μεμνῆσθαι. ἢ ἐν τῷ αὐτῷ προσώπῳ ἐστὶ τὰ τῆς διαθέσεως καὶ τὰ τοῦ ἀντωνυμικοῦ προσώπου, ἢ ἐν ἑτέρῳ προσώπῳ καταχώσεται ἢ ἐκ τῶν ῥημάτων διάθεσις, ἐπεὶ ὁμοίως πάλιν διὰ μιᾶς φωνῆς πλείονα ἔσται τὰ πράσωπα γενέσθαι ὡς ἔχει τὰ τοιαῦτα,

ὃν καὶ ἀνήρείψαντο θεοὶ Διὶ οἰνοχοεύειν
κάλλεος εἵνεκα οἷο·

ἐστι γὰρ ἕνεκα τοῦ αὐτοῦ κάλλους, καθὸ τὸ ἀνηρείψαντο συντείνει ἐπὶ τὴν εὐθεῖαν τοῦ θεοί, ἀνήρπασαν οἱ θεοὶ Γανυμήδην τοῦ αὐτοῦ ἕνεκα κάλλους. εἰ γοῦν μεταληφθείη ἡ αἰτιατικὴ τοῦ Γανυμήδης εἰς εὐθεῖαν, εἰς ἣν καὶ προσχωρήσει τὸ ῥῆμα, πάντως καὶ ἡ μετάληψις σύνθετος γενήσεται, ἡρπάγη ὁ Γανυμήδης ἕνεκα τοῦ ἑαυτοῦ κάλλους, καθό ἐστι καὶ ἐπὶ τοῦ

δεύτερον αὖ θωρήκα περὶ στήθεσσιν ἔδυνεν
οἷο κασιγνήτοιο Λυκάονος,

δῆλα δὴ ὡς ὁ Ἀλέξανδρος· καὶπεὶ ἐξ αὐτοῦ τὰ τῆς διαθέσεως, κτῆμα δὲ ἔχει τὸν ἀδελφόν, τὸ οἷα κασιγνήτοιο εἰς τὸ ἑαυτοῦ μεταληφθήσεται. Ἔτι τὸ

ἐή τέ μιν ὤλεσεν ἀλκή

τὴν τοῦ ῥήματος διάθεσιν ἔχει ἐκ τοῦ κτήματος, ἐφ' ἧς πάλιν συντάξεως ἁπλῆ μετάληψις
156 γενήσεται, ἡ αὐτοῦ ἀλκὴ αὐτὸν ἀπώλεσεν. εἰ γοῦν ὁ λέων τὰ τῆς διαθέσεως μεταλάβοι ὡς ἐπὶ τὸ κτῆμα, τὴν ἀλκήν, γένοιτο ἂν ἡ ἣν ὤλεσεν ἀλκή, ταυτέστι τὴν ἑαυτοῦ· εἰ δὲ γένοιτο ἄλλο τι πρόσωπον τὸ ῥῆμα ἀναδέξασθαι, ὡς ἐπὶ τοῦ ἐφ' Ἡρακλέους φαίη καταγωνισαμένου τὸν λέοντα· ἡ ἐὴ ἀλκὴ ὤλεσεν.

ἐόν ἀλλ' ἐπιθετικῶς, σημαῖνον τὸ ἀγαθόν, ἢ καὶ ἐν μεταγραφῇ τοῦ ταχὺν ἄγγελον, ὡς πάντως τῆς ἀντωνυμίας σύνθετον μετάληψιν ἀπαιτούσης· ἐπ' ἐκείνου δ' εὐπαράδεκτα τὰ τῆς ἀντωνυμίας φασίν,

εἰ δέ τοι οὐ δώσει ἐὸν ἄγγελον

ἀντὶ τοῦ τὸν ἑαυτοῦ. ἦν δὲ καὶ κεῖνο ἀντωνυμι-
158 κῶς παραδέξασθαι ὁμοίως τοῖς πρακειμένοις, μετιὸν εἰς ἁπλῆν μετάθεσιν ἕνεκα τοῦ τὸ ῥῆμα ἐπὶ τὸν Πρίαμον συντείνειν, αἴτει τὸν αὐτοῦ ἄγγελον. Ἀλλὰ καὶ τὸ ἐν Ἰσθμιονίκαις Πινδάρου ἐτάραξε τοὺς ὑπομνηματισαμένους,

Αἰολίδαν δὲ Σίσυφον κέλοντο
ᾧ παιδὶ τηλέφαντον ὄρσαι
γέρας, φθιμένῳ Μελικέρτᾳ·

μεταλαμβάνοντες γὰρ τὴν ᾧ ἀντωνυμίαν εἰς σύνθετον τὴν ἑαυτοῦ ἀποροῦσι πῶς, ὃν εἶπεν Ἀθαμαντιάδαν, καὶ Σισύφου παρίστησιν. ἔνιοι μέντοι τὸ ὡ ἐπιῤῥηματικὸν ἐκδεξάμενοι τοῦ ἀπόρου δοκοῦσιν ἀπηλλάχθαι, ἐγκλίνοντες τὸν τόνον ἵν' ᾖ ὠ παιδί, καθὼς ἔχει καὶ τὸ ὤ τε χερνᾶτις γυνά· οἱ δὲ καὶ εἰς τὴν αἱ μετέλαβον, κέλοντά οἱ, ἵνα ᾖ δοτικὴ ἀντὶ γενικῆς, ἐκέλοντο τῷ αὐτῆς παιδὶ τηλέφαντον ὄρσαι γέρας, τουτέστι τῆς εἰρημένης Ἰνοῦς, πάντα μᾶλλον ἢ τὸ δέαν ἐπιστήσαντες. τί γὰρ τὸ ἐμποδὼν τὴν ᾧ ἀντωνυμίαν κτητικὴν ὑπάρχειν

μεταλαμβάνεσθαί τε εἰς τὸ αὐτῆς, ἐκέλοντο τῷ αὐτῆς παιδί, ἐν καὶ Ἀθαμαντιάδην εἶπε; Καὶ τὸ Ὁμηρικὸν δὲ δυνάμενον κατ' ὀρθὴν τάσιν ἀναγινώσκεσθαι, λέγω ἐπὶ τοῦ

οἱ δὲ οἱ ἐβλάφθησαν,

παρεπέμφθη διὰ τὴν εἰκῇ πιστευθεῖσαν τήρησιν, συντάξεως ὁμοίας οὔσης τῇ οἱ ἐμοὶ ἐβλάβησαν, οἱ σοὶ ἐβλάβησαν, οἱ οἱ ἐβλάβησαν. καὶ φαίνεται ὅτι τὸ Ὁμηρικὸν ἰδίωμα ῥύεται τὸ ἀπαναγνωσμα, καθὸ ἀπειράκις δοτικὰς παραλαμβάνει ἀντὶ γενικῶν· ὡς εἰ μὴ ἦν τὰ τῆς ἐναλλαγῆς, τάχα καὶ ὁ στίχος ἠλογεῖτο, ὡς ἀκαταλλήλον ἔχων τὴν ἀντωνυμίαν. Κατὰ τὸν αὐτὸν λόγον δεῖ νοεῖν καὶ τὸ

159

τοὺς δ' ἤδη κατέχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι φίλῃ,

εἴ περ εἶχε τὸ ἐῇ ἐν ταῖς πλείοσιν ἐκδόσεσιν. ὃ ἦν μάλιστα ἀκόλουθον· τὸ γὰρ κατέχε ῥῆμα συναφές ἐστι τῇ γῇ, καὶ τὰ τῆς ἀντωνυμίας πάντως εἰς ἁπλῆν μεταστήσεται, κατεῖχεν ἡ γῆ τοὺς προειρημένους δαίμονας ἐν τῇ αὐτῆς πατρίδι, τῆς προειρημένης Ἑλένης, ὡς κἀκεῖνο ἔχει,

τότε δὲ Ζεὺς δυσμενέεσσι δῶκεν ἀμυνίσασθαι ἐῇ ἐν πατρίδι γαίῃ,

ἐν τῇ πατρίδι αὐτοῦ, τοῦ Ἕκτορος.

Οὐχ ἡγητέον τὴν τοιαύτην παράθεσιν

παρέλκειν, καθὸ ἀπήρκει τὸ ὑπόδειγμα τοῦ λόγου διακρῖναι τὰ τοιαῦτα· εἰς γὰρ γυμνασίαν τοῦ λόγου παρεθέμεθα, καὶ ἔτι εἰς βεβαιοτέραν πίστιν τῆς τηρήσεως καὶ ἔλεγχον τῶν παραπεμψαμένων τὸ δέον τῆς συντάξεως.

Ἐξῆς ῥητέον περὶ συντάξεως τῆς ἐμοῦ, κτητικῆς οὔσης κατὰ γενικὴν πτῶσιν καὶ γενικῆς τῆς ἀπὸ τοῦ ἐγώ, ἤ τις οὐ μόνον δύναται κατὰ φωνὴν συνεμπίπτειν ἀλλὰ καὶ ἐν τῇ συντάξει τῇ κατὰ τὴν κτῆσιν. ἥ τε γὰρ κτητική, ἴδιον τοῦτο ἔχουσα, ἐπὶ κτῆμα φέρεται, καθὸ καὶ αἱ ἄλλαι πτώσεις, ἐμός-ἐμόν καὶ ἑξῆς· ἀλλὰ μὴν καὶ ἡ ἀπὸ τοῦ ἐγώ γενικὴ ἐπὶ κτῆμα φέρεται, διὸ καὶ πρὸς ἐνίων κτητικὴ ἐκαλεῖτο. φαμὲν γοῦν Ἀριστάρχου ἐκδόσεις, τά τε
160 κτητικὰ τῶν ὀνομάτων καὶ αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν οὐκ ἀπ' ἄλλης πτώσεως παράγονται ἢ ἀπὸ γενικῆς, εἰς ἣν καὶ ἀναλύονται, καὶ δῆλον ὡς μὲν τὰ ὀνόματα οὐκ ἐδέετο ἐπιστάσεως· αὐτάρκεις γὰρ αἱ φωναὶ εἰς διαστολὴν τοῦ τοιούτου, Ἕκτόρειος Ἕκτορείου ὡς πρὸς τὴν Ἕκτορος· ἡ μέντοι προειρημένη ἀντωνυμία οὐ σαφηνιζομένη διὰ τῆς φωνῆς δεήσεται τῆς εἰρημένης συντάξεως, ἵνα περιγράψῃ τὴν συνοῦσαν ἀμφιβολίαν. οὐκ ἔλαθε δέ με ὡς παρὰ ταῖς ἄλλαις διαλέκτοις καὶ διὰ τῆς φωνῆς ἐστὶν ἡ διάκρισις· ἄθεν ὑπολαμβάνω τὸν ποιητὴν συνειδότα τὸ ἀμφίβολον τοῦ σχήματος

τὴν μὲν πρωτότυπον σχεδὸν διὰ πάσης διαλέκτου προενέγκασθαι, ἐμέθεν λέγοντα ἢ ἐμέο ἢ ἐμεῖο ἢ ἐμεῦ, οὐ μὴν ἐμοῦ· οὐ γὰρ καθὰ ἀγνώς ἐστι τῆς εἰς ῡ̄ληγούσης γενικῆς, ὅπου γε τὰς ἀπ' αὐτῆς πλαγίας ἁπάσας κοινότερον προηνέγκατο· τὴν γε μὴν κτητικὴν ἀκολούθως κλιθεῖσαν κατὰ τὸ τέλος ἀπ' εὐθείας τῆς εἰς ος ληγούσης ἁπάντοτε διὰ τῆς ῡ̄ προφέρεται ἢ καὶ Θεσσαλικώτερόν πως διὰ τοῦ οῖο, καθὼς καὶ τὸ καλοῖο,

πατρὸς ἐμοῖο πατήρ

καὶ

πατρὸς ἐμοῦ κλέος εὐρὺ μετέρχομαι·
εἰ δή τοι σοῦ πατρὸς ἐνίσταται μένος
ἠύ·

ἢ καὶ τεοῖο, Δωρικώτερον μετατεθέντος τοῦ σ̄ εἰς τ̄, ἐπενθέσεως τοῦ ε̄ γενομένης, καθὸ παρεπόμενόν ἐστι μετὰ τὴν μετάθεσιν ἔσθ' ὅτε
161 τὸ ε̄ πλεοναζειν. οὐκ ἐνὸν γὰρ εὑρίσθαι τὸν πλεονασμὸν σὺν τῷ σ̄· ἢ γοῦν πάλιν σοί, γενομένη τίν παρὰ Δωριεῦσι, γίνεται καὶ τεῖν,

τεῖν τάδε μυθήσασθαι.

Ἁπάντοτε μὲν οὖν ἡ γενικὴ φερομένη ἐπὶ ῥῆμα ἐστὶ πρωτότυπος, ἐμοῦ ἀκούει Θέωνος, σοῦ ἤκουσα, καὶ ἔτι ἐν ταῖς κατὰ διάλεκτον,

ἐμεῦ δ' ἔλετο μέγαν ὄρκον,
σεῦ δ' ἐπὶ ἐξέλετο ψυχήν,
ἐμεῖο δὲ σύνθετο μῦθον,

ἴσως παρὰ Ἰωνικὴν τὴν ἐμὸ κατ' ἐπένθεσιν τοῦ ῑ̔, ἢ καὶ κατὰ μετάθεσιν τοῦ ῡ̄ εἰς τὸ ῑ̔ παρὰ τὴν ἐμεῦ, ὡς καὶ παρὰ τὴν ἐμοῦ τὸ ἐμοῖο, ὥστε καὶ κατὰ τὸ τοιοῦτον ἀναλογωτάτην τὴν φωνὴν καθίστασθαι. Οὐχὶ οὖν καὶ ἐπὶ κτῆμα φέρεται ἡ γενική; Ἀλλὰ ἐν διαφόρῳ τάσει, λέγω τῇ ἐγκλιτικῇ, καὶ διαφόροις κτήμασιν, ἔσκαφη μου ὁ ἀγρός, ἐνίκησέ μου ὁ παῖς. καὶ τὰ ἐπιφερόμενα κτήματα διάφορα κατὰ γένος, κατὰ πτῶσιν, κατ' ἀριθμόν· παντὸς γὰρ κτήματος ἡ γενικὴ πτῶσις δεκτική ἐστι. καὶ ἐπὶ τῶν ὀνομάτων ταὐτόν. τά γε μὴν κτητικῶς παραχθέντα ἀντωνυμικὰ ἢ καὶ ἔτι ὀνοματικὰ τὸν αὐτὸν ἀριθμὸν ἐπιζητεῖ καὶ τὸ αὐτὸ γένος καὶ τὴν αὐτὴν πτῶσιν, Ἑκτόρειος χιτών· Ἑκτορείου χιτῶνος, ἐμὸς φίλος· ἐμοῦ φίλου· πρόδηλός ἐστιν ἡ ἐξῆς ἀκολουθία. τοιοῦτόν ἐστι τὸ

πατὴρ δ' ἐμὸς αὐτίκ' ὀΐσθείς

καὶ ἔτι

πατρὸς ἐμοῦ πλέος εὑρὺ μετέρχομαι

καὶ ἔτι

τῷμῷ κεχαρισμένε θυμῷ.

Οὐχὶ οὖν καὶ τῇ γενικῇ ὀρθοτονουμένῃ, λέγω τῇ πρωτοτύπῳ, συνοισθήσεται γενικὴ πτῶσις, ὥστε κατὰ σύνταξιν καὶ κατὰ φωνὴν ἀμφιβάλλεσθαι, καθότι καὶ παντὶ πτωτικῷ γε-

γενομένῳ κατὰ γενικὴν τὸ τοιοῦτον παράκειται; φαμὲν γὰρ Ἀριστάρχου ἀγροῦ ὁ καρπός ἐστιν, καὶ οὐδὲν ἐμποδὼν τὸ φάναι, ὡς Ἀριστάρχου ἀγροῦ καρπός, οὕτως ἐμοῦ ἀγροῦ καρπός. Ἀλλὰ πάλιν γενόμενον τὸ τοιοῦτον ὑποστρέφει εἰς κτητικὴν ἀντωνυμίαν τὴν ἀπὸ τοῦ ἐμός. οὐ γὰρ ἄλλως ἂν τῆς πρωτοτύπου γένοιτο, λέγω τῆς ἐγώ, εἰ μὴ καὶ ἐγκλιθείη, ἅ περ ἴδιον αὐτῇ παρηκολούθει πρὸς τὴν τῶν κτητικῶν ἀντεξέτασιν, καθὸ αὗται μόνως ὀρθοτονοῦνται· γίνεται γὰρ τοῦ ἀγροῦ μου ὁ καρπός ἐστιν. Ἀλλ' ἴσως οἰήσεταί τις τὰ τῆς ἀποδείξεως ἐντελῶς μὴ ἔχειν, ἔτι δ' ἀμφιβάλλεσθαι τὰ τοῦ λόγου. πρὸς ὃν ἔστι φάναι ὡς, εἴ περ ἡ πρωτότυπος γενικὴ ἦν κατ' ὀρθὴν τάσιν ἐκφερομένη, καὶ πάντως συμπαρείπετο τὰ ταύτης ἰδιώματα. ἔφαμεν γὰρ τὰς γενικὰς περὶ τὰ ἐπιφερόμενα κτήματα διαφορεῖν, τά γε μὴν κτητικῶς παραχθέντα πρὸς ἑκάστην πτῶσιν καταλλήλως ἐκφέρεσθαι. οὐ φαμεν δέ γε τῶν ἐμοῦ ἀγρῶν ὁ καρπός
163 ἐστιν οὐδὲ τῷ ἐμοῦ ἀγρῷ συνέβη ἐσκάφθαι οὐδὲ τῆς ἐμοῦ οἰκίας οὐδὲ ἄλλο τῶν κατὰ διαφορὰν ὡς πρὸς τὸ ἐμοῦ, ἀλλὰ κατὰ σύνταξιν τὴν τῶν ἐπιφερομένων συμμεταλαμβάνομεν τὰς ἀντωνυμίας, τῶν ἐμῶν ἀγρῶν καρπός, τῷ ἐμῷ ἀγρῷ συνέβη ἐσκάφθαι. διὰ τοῦ τοιούτου λύεται ὡς, ἐπὰν φῶμεν τοῦ

ἐμοῦ ἀγροῦ ὁ καρπός, σύνταξίς ἐστι τῆς κτητικῆς ἡ περ τῆς γενικῆς ὀρθοτονουμένης· παρὸν γοῦν, ἐγκλίναντα τὴν ἀντωνυμίαν καὶ περιγράψαντα τὴν κτητικὴν σύνταξιν, διὰ τῆς ἐγκλίσεως προσδοῦναι τὰ ἰδιώματα τῆς γενικῆς, καὶ ὅσα μὴ κατάλληλα ἐν τοῖς προκειμένοις, ταῦτα διὰ τῆς ἐγκλίσεως κατάλληλα ποιῆσαι, τῶν ἀγρῶν μου ὁ καρπός, τῷ ἀγρῷ μου συνέβη ἐσκάφθαι, καπὶ τῶν ἑξῆς ταὐτόν. Δέδεικται ἄρα ὡς ἡ ὁμοφωνήσασα γενικὴ τῇ κτητικῇ ἀντωνυμίᾳ περιγράφεται τῆς κτητικῆς συντάξεως διὰ τὸ ἐπικρατεῖν τὴν φύσει κτητικὴν ἀντωνυμίαν, ἰδίωμα ἔχουσαν τὸ κτῆμα, ὃ οὐ μόνον διὰ τῆς γενικῆς νοεῖται ἀλλὰ πολὺ πρότερον ἀπὸ τῆς εὐθείας. ἡ γὰρ ἐν πρωτοτύποις κτητικὴ σύνταξις διὰ μιᾶς πτώσεως τὸ τοιοῦτον ἐπαγγέλλεται, ἡ δὲ τῆς γενικῆς κτητικῆς σύνταξις καὶ τὰ τῆς κτήσεως συμμετατίθεται. Προσθείην δ' ἂν κἀκεῖνο, ὡς οὐδ' ἂν ἡ γενικὴ πρωτότυπος κτητικὴν σύνταξιν ἀνεδέξατο, εἴ περ αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν ἐγκλισιν ἀνεδέχοντο· καὶ οὕτω γὰρ κατεκράτησεν ἡ κτητικὴ ἀντωνυμία. σαφὲς οὖν ὅτι ἀποφυγοῦσα τὴν φωνὴν τὴν κτητικὴν μετῆλθε
164 καὶ γὰρ ἐν τῷ καθόλου τὸ τοιοῦτον ἐπιδεδέξεται, ἡνίκα κατὰ τὸ εὔκαιρον περὶ αἰτίας καταλλήλου καὶ ἀκαταλλήλου διαληψόμεθα.

Ὁμολόγως οὖν τῶν κτητικῶν ἁπάντων

ἐπὶ πτῆμα φερομένων τὸ

ὡς μὴ πάντες ἅλωνται ὀδυσσαμένοιο
τοῖο

ἄλογον κατασταθήσεται μετὰ καὶ τῶν συμπαρεπομένων τῇ ἀθετήσει τῶν στίχων· αἱ γὰρ συντάξεις αἱ ἐπὶ τὰ ῥήματα καὶ ἐπὶ τὰς μετοχὰς γενικὰς πρωτοτύπους ἐπιζητοῦσι, καθὼς πρόκειται. Διὸ καὶ τὸ Ζηνοδότειον οὐ πάντως ἄλογον, λέγω δὲ ἐπὶ τοῦ

Πηλείδης δὲ σάκος μὲν ἀπὸ οἱ χειρὶ πεχείῃ

ἔσχετο ταρβήσας.

εἰ γὰρ καὶ ἡ κατὰ τὸ πρῶτον πρόζωπον καὶ δεύτερον ἐπὶ ῥῆμα φέρεται, ἀπ' ἐμοῦ ἔσχετο σάκος, ἀπὸ σοῦ ἔσχετο σάκος, οὐδὲν ἐμποδὼν καὶ ἐπὶ τοῦ τρίτου ταὐτὸν ἐγγενέσθαι, νῦν οὐ πτπτικῶς ἀκουομένης τῆς ἀντωνυμίας, ὥς τινες ὑπέλαβον, ὅπου γε καὶ τὸ ἀμφίβολον τῆς γενικῆς ὡς πρὸς τὴν πτπτικὴν γενικὴν παραπέμπεται ἢ τοῦ ῥήματος σύνταξις, καθά περ προεκτεθείμεθα. εἰ δὲ ἡ οὗ φέρεται ἐπὶ ῥῆμα ἐν τῷ ἔσχετο ἀπὸ οὗ, τί τὸ κωλῦον πρωτότυπον γενικὴν αὐτὴν φάναι, κἂν συνεμπίπτῃ πτπτικῇ; ἔστι γε μὴν πρὸς τὸ τοιοῦτον φάναι ὡς ἐν ἑτέρᾳ μὲν συντάξει κατώρθωτο ἄν, οὐ μὴν ἐν τῇ Ὁμηρικῇ, εἴ γε τὴν τούτων συνέμπτωσιν ἐφυλάξατο, ὡς ἐδείχθη ἐν τοῖς προκειμένοις. δείκνυται οὖν ὡς οὐ παρὰ τὰς ἀντωνυμίας Ζηνό-

δοτος ἥμαρτε, παρὰ δὲ τὸ Ὁμηρικὸν ἔθος. ἕνεκα τούτου προέχριται ἡ Ἀριστάρχειος ἀνάγνωσις, ἀπὸ ἕο χειρὶ παχείῃ.

Ἔτι κἀκεῖναι αἱ γραφαὶ εἰς αὐτὸν ἀναφέρονται,

μνῆσαι πατρὸς σεῖο,
πατρὸς ἐμεῖο πατήρ,

ὥςτε κατὰ τὸ ἐναντίον τῷ προκειμένῳ λόγῳ γενικαῖς αὐτὸν κεχρῆσθαι πρωτοτύποις ἀντὶ
22 κτητικῶν. καὶ ἔστι πῶς συνηγορῆσαι τῇ πρὸς αὐτοῦ γενομένῃ γραφῇ, ὅτι οὐκ ἀπεμφαῖνον τὰς γενικὰς ἐπὶ κτῆμα φέρεσθαι, ἐπεὶ καὶ ὡς ἔφαμεν, αἱ κτητικαὶ εἰς γενικὰς μεταλαμβάνονται. ἔτι καὶ ἄλλαι συντάξεις εἰσὶν ἐν αὐτοῖς τοῖς ποιήμασι τὸν αὐτὸν ἐπέχουσαι λόγον,

πρώτῳ γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο,

σέο δ' ὀστέα πύσει ἄρουρα,
εἰ μή τίς σευ μῆλα,
οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσίν·

ὥςτε μηδὲ παρὰ τὸ Ὁμηρικὸν ἔθος ἀπαραδέκτους εἶναι τὰς γραφάς. πρόδηλον γὰρ ὡς, εἰ αἱ Ζηνοδότειοι μετατεθεῖεν, αἱ τοιαῦται ἀντικείσονται· εἰ δὲ εὐπαράδεκτοι αὗται, οὐδὲ αἱ Ζηνοδότου ἀπόβλητοι. Ἢ δέον πρὸς τὴν γραφὴν οὕτως ἀντιθεῖναι, ὡς ἀδύνατον παραδέξασθαι ὀρθοτονουμένην ἀντωνυμίαν εἰς κτητικὴν σύν-

ταξιν, ἀλλ' ἡ ἐγκλινομένην ἡ κτητικήν, καθά περ ἀπεδείχθη. καὶ προφανὲς ὡς δεόντως ἔ-
166 χει τὸ

εἰ μή τίς σευ μῆλα βροτῶν

καὶ τὰ τούτοις ὅμοια, ἐγκλιτικῆς συνούσης ἀντωνυμίας. τὸ γὰρ

πρώτω γὰρ καὶ δαιτὸς ἀκουάζεσθον ἐμεῖο

συνήρπασται εἰς κτητικὴν σύνταξιν· ἄμεινον γὰρ τῷ ῥήματι συντάσσειν Ὁμηρικώτερον λειπούσης τῆς περὶ προθέσεως, ὡς τὸ

τίσασθαι Ἑλένης ὁρμήματά τε στοναχάς τε·

ἐκ γὰρ Ὀρέσταο τίσις ἔσσεται Ἀτρείδαο·

Κύκλωπος κεχόλωται,

καὶ ἄλλα πλεῖστα, ἔχοντος τοῦ λόγου οὕτως, ἐμοῦ ἀκουάζεσθον πρώτω περὶ δαιτός, τῆς ὀρθῆς τάσεως δεάντως ἐχούσης διὰ τὴν ἀντιπαράθεσιν. Οὐχὶ οὖν ὀρθοτονεῖται τὸ

σέο δ' ὀστέα πύσει ἄρουρα,

οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσίν;

Ἀλλὰ καὶ πρὸς τὸ τοιοῦτον ἔστι φάναι ὡς πᾶσα ἀντωνυμία τότε ἄλογος γίνεται κατὰ τάσιν, ὅταν τὸ δισσὸν τοῦ τόνου οὐ δυναμένη ἐπιδέξασθαι παρὰ τὸ δέον τοῦ τόνου ἐναλλαγῇ· τοῦ γὰρ λόγου οὐκ ἀπαιτοῦντος ὀρθὴν τάσιν ἐν τῷ

παλλακὶ γάρ σε πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα

ἄλογον τὸ κατ' ὀρθὴν τάσιν ἀνάγνωσμα· ἐπί γε μὴν τοῦ

ὡς σέο νῦν ἔρομαι

ἄλογον μὴ ὀρθοτονῆσαι διὰ τὴν ὑποῦσαν διαστολήν. οὐ γὰρ ἐκεῖνα ἄλογον,

ὃς σφῶϊν προίει Βρισηΐδας εἵνεκα κούρης,

ὀρθὴν τάσιν ἀναδεξάμενον τοῦ λόγου ἀπαιτοῦντος ἀπόλυτον ἐκφοράν, εἰς ἣν καὶ μεταλαμβάνεται, ὃς ἐξέπεμψεν ὕμας· ταῦτα
167 γὰρ τῇ φωνῇ συμβέβηκε, τὰ μὴ δύνασθαι ἐγκλίνεσθαι, καὶ οὐκ ἔστιν ὅς τις τὴν ἀνάγνωσιν καταμέμψαιτο. ἐπιμένειν τοῖς τοιούτοις ὑποδείγμασι περισσὸν οἰητέον· πρόκεινται γὰρ αἱ τε μόνως ἐγκλινόμεναι καὶ μόνως ὀρθοτονούμεναι. ἐδείξαμεν ὡς αἱ ἀρκτικαὶ ἀντωνυμίαι φυσικῶς ὀρθοτονοῦνται· τὸ οὖν

σέο δ' ἀστία πύσει ἄρουρα

ἀπαναγνωσμα, εἰ δύναται ἐγκλιθῆναι καὶ μὴ ἐγκέκλιται. ὁμοίως ὅτι καὶ αἱ προθέσεις ὀρθοτονοῦσι τὰς ἀντωνυμίας· οὐκ ἄλλην ἄρα τάσιν ἀναδέξεται τὸ ἐξ ἐμεῦ ἢ τὴν ὀρθήν. οὐ μὴν τοιαύτη πρόφασίς ἐστιν ἐπὶ τῆς Ζηνοδοτείου γραφῆς τοῦ παραδέξασθαι τὴν ἐμεῖο, καθὸ κυριωτέρα λέξις, λέγω ἡ κτητικὴ ἀντωνυμία, δυναμένη καὶ ἕνεκα μέτρου καὶ ἕνεκα λόγου παραλαμβάνεσθαι, πρὸς οὐδὲν χρειώδες μετατίθετο.

καὶ γὰρ ἐν τῷ καθόλου τὸ ποιοῦν ἀκαταλληλίαν οὐκ ἄλλο τί ἐστιν ἢ κυριωτέρου σχήματος παρατροπὴ κατὰ τὴν αὐτῷ ἐπιβάλλουσαν σύνταξιν.

Ἐπεὶ οὖν προήλθομεν εἰς τὰς ἀντωνυμικὰς γραφὰς τοῦ Ζηνοδότου, οὐ παρέλκει καὶ περὶ ταῦ

τίς τ' ἄρ σφωϊ

διαλαβεῖν· τὴν γὰρ τοιαύτην γραφὴν καὶ Σέλευκος προκρίνει καὶ ἄλλοι πλεῖστοι, παρατιθέμενοι καὶ ἐκδόσεις Ὁμηρικάς. καθιστᾶσί τε τὸν λόγον οὕτως. εἰ περ ἡ γενικὴ πτῶσις καὶ δοτικὴ ἡ κατὰ δεύτερον πρόσωπον μεταθεῖσα τὸν τόνον, τουτέστιν ἐγκλιθεῖσα, μενούσης τῆς γραφῆς τὸ τρίτον πρόσωπον παρίστησιν ἐν τῷ

168 γυιώσω μὲν σφωΐν ὑφ' ἅρμασιν ὠκέας ἵππους

καὶ κατ' ἔγκλισιν ἐπὶ τοῦ τρίτου προσώπου

γυιώσω μὲν σφωΐν ὑφ' ἅρμασι,

πᾶσα ἀνάγκη καὶ τὴν σφῶϊ, ὀρθοτονουμένην κατὰ δεύτερον πρόσωπον, τὸν τόνον μεταθεῖσαν κατὰ τὴν αὐτὴν γραφὴν τὰ τρίτον παραστῆσαι. ἔστι καθολικώτερον φάναι κἀκεῖνο, ὡς τὸ ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ ἀνομοιοκατάληκτον πάντως κἀν τρίτῳ. πρόκειται ἐν πρώτῳ καὶ δευτέρῳ διὰ τὸ ἐγώ, σύ, ἵ ἤ ὅς· ἰδοὺ γὰρ ἀναλόγως καὶ τὸ τρίτον διήλλαξε τοῦ δευτέρου, καθὸ καὶ αὐτὸ τὴν τοῦ πρώτου κα-

τάληξιν οὐκ ἐδέχετο. καὶ κατὰ τοῦτο ἄρα ἀναλογωτέρα ἡ σφῶϊ διὰ τοῦ ῑ γραφομένη. Ἀλλ' ἔστι γε καὶ ὑπὲρ τῆς παραδεδομένης γραφῆς ἐκεῖνο φάναι, ὡς μᾶλλον κατώρθωται, ἵνα μὴ ἡ αὐτὴ οὖσα φωνὴ παρὰ τὴν ἔγκλισιν προσώπου μεταβατικὴ γίγνηται, ὅ περ οὐκ ἔστιν ἐπινοῆσαι ἐν ἀντωνυμίαις παρεπόμενον· αὐτὸ γὰρ μόνον ἀνίεται τὰ πρόσωπα καὶ ἐπιτείνεται, οὐ μὴν ἐναλλάσσεται. τά τε ὁμοιοκατάληκτα κατὰ τὰ τρία πρόσωπα οὔ ποτε συνάρχεται, ἡμῶν-ὑμῶν-σφῶν, ἐμέ-σέ-ἕ, καὶπὶ τῶν ἄλλων ὁ αὐτὸς λόγος. ἀσύστατον οὖν καὶ συνάρξασθαι καὶ συλλῆξαι τὴν κατὰ τὸ τρίτον τῷ δευτέρῳ, καὶ δῆλον ὅτι, εἰ τὰ ὁμοιοκατάληκτα οὐ συνήρξατο, οὐδὲ τὰ συναρξάμενα λήξεως τῆς αὐτῆς τεύξεται. κατὰ τοῦτο οὖν ἡ σφωέ κατώρ-
169 θωται. κἀκεῖνο δὲ δείκνυται, ὡς ἐν μὲν ῥήμασι τὰ δεύτερα πρόσωπα πρὸς τὰ τρίτα συμπάθειαν ἔχει, καὶ περισσὸν εἰς τὸ τοιοῦτο παρατίθεσθαι· ἐν μέντοι ἀντωνυμίαις τὸ πρῶτον πρὸς τὸ δεύτερον, τῶν τρίτων ἔσθ' ὅτε καὶ ἐκλειπόντων καὶ πλεοναζόντων καὶ ἐν ἰδίοις θέμασι καταγινομένων, ὡς ἡ ἐκεῖνος, ἡ οὗτος, ἡ μίν, ἄλλαι πλεῖσται. οὔσης γε μὴν τῆς κατὰ τὸ πρῶτον καὶ δεύτερον δυϊκῆς εὐθείας οὐ πάντως καὶ κατὰ τὸ τρίτον συνυπάρχει· συνθέτων γινομένων πληθυντικῶν κατὰ τὸ τρίτον οὐ συνυπάρχει καὶ κατὰ τὸ πρῶτον καὶ δεύτερον· ἔστι πλεῖστα

παραθέσθαι. οὐκ ἄρα κατηνάγκασται οὔτε διὰ τὸ σφωέ ἡ κατὰ τὸ πρῶτον εἰς ε̄ λῆξαι, οὔτε διὰ τὴν γῶϊ ἡ κατὰ τὸ τρίτον εἰς ῑ καταλήγειν.

Σαφὲς ἐστιν ὡς τὰ συνηγοροῦντα τῇ σφωέ ἀντωνυμίᾳ μάχεται τῇ κατὰ τὸ τρίτον σφῶϊν. ὑπὲρ ἧς ἐκεῖνο ἔστι φάναι, ὡς ἀσύστατον ταύτην δοτικὴν οὖσαν ἐκστῆναι τοῦ ἰδιώματος, λέγω τῆς τοῦ ῑ γραφῆς, μετὰ τοῦ ῡ, ὅτι δυϊκὴ δοτική. καὶ εἰ τἀκριβές τις ἐπιστήσειεν, εἴσεται ὡς ἐπὶ τοῦ δευτέρου προσώπου δυϊκαὶ δεόντως ἐξέλιπον, αἱ δὲ τοῦ τρίτου καὶ εἰς τὸ δεύτερον μετατεθέμεναί εἰσιν, εἴ γε πᾶσα ἀντωνυμία διὰ τοῦ σφ̄ ἐκφερομένη μόνως τρίτου ἐστὶ προσώπου, σφέας-σφίσι-σφέτερος-σφός. καὶ οὕτω καὶ τὰ τῆς τάσεως ἐπεμερίσθη, ὥστε τὰ μὲν τῆς ὀρθῆς τάσεως μετατεθῆναι εἰς τὸ δεύτερον, τάχα οὐκ ἀπιθάνως, ἐπεὶ τὰ δεύτερα ὑπὸ δείξίν ἐστιν ἡ συντρέχει ἡ ὀρθὴ τάσις· τὰ μέντοι κατὰ τὸ τρίτον ἀποστάντα τῆς δείξεως εὐθέτισται εἰς ἔγκλισιν. διὰ τοῦτο καὶ μοναδικαὶ τοῦ τρίτου προσώπου ἐγκλιτικαὶ ἐπενοήθησαν, ἡ σφέ, ἡ μίν. οὐ μέντοι ἀπεμφαῖνον τὴν σφωέ ἀντωνυμίαν διὰ τοῦ ε̄ λέγεσθαι, συνεδραμοῦσαν τῇ ἐνικῇ αἰτιατικῇ πτώσει.

23 Ἀκολούθως ῥητέον καὶ περὶ τῆς ἐμαυτοῦ, ἣ καὶ συντεθεῖσα, καθὼς φησι Τρύφων, τὴν αὐτὴν ἔχει ἀκολουθίαν, ἐκ κτητικῆς συντεθεῖσα καὶ πρωτοτύπου. τὴν γὰρ ἀπαράδεκτον

τοῦ ἄρθρου οἴεται ἐκ πρωτοτύπου συντεθεῖσθαι, ἐμαυτοῦ ἀκούω, σαυτοῦ φείδῃ, τὴν δὲ ἐν προσλήψει τοῦ ἄρθρου ἐκ συνάρθρου τῆς ἐμοῦ, τοῦ ἐμαυτοῦ φίλου ἥκουσα, τοῦ ἐμαυτοῦ οἴκου δεσπόζω. φαίνεται δὲ ὅτι παρῆξεν αὐτὰν ἡ κτητικὴ σύνταξις καὶ ἡ πρόσθεσις τοῦ ἄρθρου, ἃ περ οὐκ ἐξαίρετά ἐστι τῆς κτητικῆς ἀντωνυμίας. παρὸν γοῦν ἐξ ὧν ὑπενόησεν, ἀποδεῖξαι ὡς οὐκ ἔγκειται ἡ κτητικὴ ἀντωνυμία ἐν τῇ τοιαύτῃ συνθέσει, καὶ πρῶτόν γε ἐξ αὐτῶν τῶν ἄρθρων. πρόκειται ὅτι ἑκάστη τῶν κτητικῶν ἀντωνυμιῶν ἄρθρον ἐπιπαραδέχεται ὁμοιόπτωτον καὶ ἰσάριθμον γένους τε τοῦ αὐτοῦ· πῶς οὖν ἔγκειται ἡ κτητικὴ ἀδιαφόρως συνόντων τῶν ἄρθρων, τῷ ἐμαυτοῦ, τοὺς ἐμαυτοῦ, τῶν ἐμαυτοῦ, καὶ ἅπαντα σχεδὸν τὰ γένη μετὰ τῶν συνόντων διαφόρων ἀριθμῶν; εἰ δὲ αἱ γενικαὶ ἐπὶ κτῆμα φερόμεναι διαφόρων κτημάτων εἰσὶ δεκτικαί, πῶς οὐχὶ γενικὴ ἐστιν ἡ ἐγκειμένη ἢ περ ἡ κτητικὴ ἀντωνυμία; Ἀλλ' εἰ, καθὸ ἄρθρον προσέλαβεν, ἡ σύναρθρος ἔγκειται, οὐδὲν κωλύει σύναρθρον ἐκδέχεσθαι καὶ τὴν ἐγκλιτικὴν ἀντωνυμίαν, τοὺς φίλους μοῦ, τοῦ φίλου μου· ὡς οὖν δικαίως εἴωθες τὸ τοιοῦτον, εἴωθες καὶ τὸ διὰ τῆς παραθέσεως τοῦ ἄρθρου ἐκδέχεσθαι συνάρθρου σύνθεσιν. οὐ γὰρ δή γε τὰ παρατιθέμενα ἄρθρα τῆς ἀντωνυμίας ἐστί,

τῶν δὲ ὑπαχουομένων κτημάτων πρὸς ἃ καὶ τὰ ἄρθρα ᾠκείωται. Ἀλλ' εἰ, καθὸ ἐπὶ κτῆμα φέρεται, ἡ κτητικὴ ἔγκειται, οὐδὲν κωλύει καὶ πᾶσαν γενικὴν παντὸς πτωτικοῦ ἐπὶ κτῆμα φερομένην κτητικὴν καλεῖν ἀντὶ γενικῆς. καθὸ οὖν γενική ἐστιν ἡ ἐμαυτοῦ, παρεδέξατο καὶ κτῆσιν· καὶ δῆλον ὡς τῆς πτώσεώς ἐστιν ἡ σύνταξις, οὐχὶ τῆς συνθέσεως. μετελθοῦσα γοῦν εἰς αἰτιατικὴν ἡ δοτικὴν κτήματός ἐστιν ἀπαράδεκτος, ὅ περ ἐπὶ τῶν κτητικῶς παρειμένων οὐκ ἐνὸν ἐπινοῆσαι· κατὰ γὰρ πᾶσαν πτῶσιν τῆς κτητικῆς παραγωγῆς ἐγκειμένη σύνεστιν ἡ κτητικὴ σύνταξις, ἐμός-ἐμοῦ-ἐμῷ-ἐμόν, Ἀριστάρχειος-Ἀριστάρχειου-Ἀριστάρχειῳ. καὶ ἐν μὲν τῷ Ἀρίσταρχος οὐδὲν ὑπακούεται κατὰ κτῆσιν, οὐδὲ μὴν ἐν τῷ Ἀρίσταρχον, ἓν γε μὴν τῇ Ἀριστάρχου γενικῇ. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῆς ἐγώ καὶ ἐμέ· πάλιν γὰρ ἐν γενικῇ μόνῃ τῇ ἐμοῦ, οἷκός μου, φίλος μου. ὅ περ παρακολουθεῖ καὶ τῇ ἐμαυτοῦ οὐκ οὔσης κτητικῆς ἐννοίας ἐν τῇ ἐμαυτῷ ἢ ἐμαυτόν. διὰ γοῦν τὸ τοιοῦτο τὰ μὲν νέα πόλις, ἀγαθὸς δαίμων, τὰ παραπλήσια οὐ κτῆσιν ὑπαγορεύοντα ἀκώλυτον ἔχει τὴν ἐν ἀμφοτέροις τοῖς ὀνόμασι κλίσιν· τὸ δὲ κέρας πέτρα ἢ ὑὰς κύαμος ἤ τι τῶν παραπλησίων συπέβη μοναδικῶς κλίνεσθαι κατὰ τὴν συνοῦσαν εὐθεῖαν. κλιθεῖσα γὰρ ἡ γενικὴ ἀποτίθεται τὴν κτητικὴν σύνταξιν, καὶ

ἄσημα τὰ τοῦ ὑποκειμένου γίνεται. Ἔτι εἴ περ
ἡ κτητικὴ ἐνέκειτο ἐν τῇ ἐμαυτοῦ, κἂν ἐπεδέ-
χετό ποτε τὸ σχῆμα δισσὰς κτήσεις, μίαν μὲν
τὴν ἐγκειμένην ἐν τοῖς κτητικοῖς, ὥς περ καὶ
ἡ ἐμός ἔχει καὶ ἡ ἐμόν, ἑτέραν δὲ τὴν ἐν τοῖς
κτητικοῖς ἐγγινομένην, καθὸ ἔστιν ἐπινόῆσαι καὶ
ἐπὶ τῶν ἄλλων κτητικῶν, Ἀριστάρχείου ἀ-
γροῦ πρόσοδος· κτῆμα γὰρ καὶ ὁ ἀγρὸς καὶ
ἡ πρόσοδος. ἁπλῆ γὰρ νοεῖται ἡ ἐκ γενικῆς κτῆ-
σις, Ἀριστάρχου ἀγρός, Ἀριστάρχου
πρόσοδος· καὶ πάλιν ἐπὶ τῆς κτητικῆς ἀντω-
νυμίας, ἐμὸς ἀγρός, τοῦ ἐμοῦ ἀγροῦ πρός-
173 οδος· κτῆμα γὰρ καὶ ὁ ἀγρὸς καὶ ἡ πρόσοδος. οὐ
δὴ ἐπὶ τοῦ ἐμαυτοῦ δισσή ποτε κτῆσις νοεῖται,
ἀλλὰ μία ἁπάντοτε· τοῦτο γὰρ δὴ ἀπεδεί-
χθη ἐπὶ τῆς γενικῆς, ἐμαυτοῦ ἀγρὸν ἔσκα-
ψα, ἐμαυτοῦ φίλῳ ἀνεθέμην.

24 Τὴν μέντοι τῶν τοιούτων γενικῶν εὐθεῖαν
οὐκ ἔστιν εὑρεῖν οὔτε ἐν λόγῳ οὔτε ἐν χρήσει
δυναμένην συνίστασθαι, οὐ καθά περ ἄλλα
ἀτριβῆ σχήματα — ἐν ἀγνοίᾳ γὰρ τοῦ λόγου
τινὲς γενόμενοι ὡς ἀτριβεῖς τὰς τοιαύτας εὐθείας
παραδέξονται — οὐδὲ μὴν ἐν συντάξει τῇ κα-
τ' εὐθεῖαν, εἴ γε οὐ ῥητὸν τὸ ἐμαυτός ἢ σαυτός·
ἀλλ' οὐδὲ ἡ τοιαύτη σύνταξις, ἐμαυτοῦ δοῦ-
λος ἔτυψεν, ἐμαυτοῦ δοῦλος ἔτυψα, τῆς
ἀσυνθέτου γενικῆς τὴν σύνταξιν τῆς εὐθείας
παραδεχομένης ὁμοίως ἁπάσαις γενικαῖς, ὡς

ἐν τῷ ὁ δοῦλός μου ἔτυψεν. καὶ συμφανὲς ὅτι οὐχ ἡ πτῶσίς ἐστιν ἡ ἀπαράδεκτος, τὸ δὲ ἐν αὐτῇ γενόμενον σχῆμα σύνθετον, ὃ περ ἐπενοήθη εἰς διάκρισιν τῆς ἐκ προσώπου γενομένης διαθέσεως εἰς αὐτὸ τὸ πρόσωπον. ὁ γὰρ οὕτω λέγων, ἐμαυτὸν ἔτυψα, διάθεσιν ὁμολογεῖ τὴν ἐξ αὐτοῦ γενομένην εἰς αὐτόν, ὡς εἰ καὶ ἔλεγεν οὕτως, ἐγὼ ἐμὲ ἔτυψα. τοῦ οὖν ῥήματος συνόντος τῇ πλαγίᾳ πτώσει κατὰ τὸ
174 αὐτὸ πρόσωπον ἀνέφικτον ἦν ἕτερον πρόσωπον ἐν εὐθείᾳ πτώσει ἐπινοῆσαι, οὐ λέγω κατ' αἰτιατικὴν ἢ δοτικήν· οὐδὲ γὰρ αὗταί τι ἔξωθεν πρόσωπον ἐπιζητοῦσιν· ἡ μέντοι ἐπὶ κτῆμα φερομένη γενική, πρόσωπον ἔχουσα τοῦ κτήματος, ἀπαράδεκτος ἐγίνετο εἰς τὸ ἐπιδέξασθαι τὴν τούτου ὀνομαστικήν, καθὼς ἔμελλεν ἡ ἐκ τοῦ κτήματος εὐθεῖα ἀνθέλκειν εἰς αὐτὴν τὸ ῥῆμα, ὥς γε καὶ ἐπὶ τῶν ἄλλων συντάξεων προφανές ἐστιν, Ἀριστάρχου γνώριμος ἀγέγνω, φίλος μου διαλέγεται. οὐ δὴ οὖν ἐδύνατο τὸ μεταξὺ πῖπτον ῥῆμα ἐπαρκέσαι ἀμφοτέροις τοῖς προσώποις, διαφόροις οὖσιν, εἴ γε δὴ τὸ ἐμαυτοῦ ἐστὶ πρώτου προσώπου, ᾧ δὴ πάντως ὀφείλει συντετάχθαι τοῦ αὐτοῦ προσώπου ῥῆμα, ἐμαυτοῦ ἔτυψα παῖδα. ἀλλ' εἰ καὶ ἡ συνταξομένη αἰτιατικὴ μετέλθοι εἰς εὐθεῖαν, οὐκ ἄλλο τι προλήψεται ῥῆμα ἢ τὸ τοῦ τρίτου προσώπου, παῖς ἔτυψε. καὶ ἔνθεν

οὔτε τὸ ἐμαυτοῦ ἔτυψε παῖς συστατόν, οὔτι μὴν τὸ παῖς ἔτυψεν ἐμαυτοῦ ἢ ἐμαυτόν. Ὅτι δὲ τὸ διάφορον πρόσωπον αὐτιόν ἐστι τοῦ ἀκκαταλλήλου, σαφὲς ἂν γένοιτο, εἰ καὶ ἡ ἐν τρίτῳ νοουμένη εὐθεῖα κατὰ τὴν ὑπαρκτικὴν σύνταξιν τῶν ῥημάτων ἐπινοηθείη καὶ ἐν πρώτῳ προσώπῳ, εἰμὶ δοῦλος· ἐφ' οὗ εἰ καὶ προσθείημεν τὸ ἐμαυτοῦ, κατάλληλα ἂν γένοιτο τὰ τοῦ λόγου, καθὸ τὸ ῥῆμα οὐκέτι ἀνθέλκεται ὑπὸ διαφόρων προσώπων. καὶ ἔτι ἐπὶ δευτέρου, σαυτοῦ εἶ ὑπηρέτης, καὶ ἐπὶ τρίτου, ἑαυτοῦ ἐστὶν ἐπίβουλος. ἐφ' ἧς συντάξεως εἴ τις πάλιν παραλάβοι τὰς ἁπλᾶς ἀντωνυμίας, προσχωρήσει ἡ εὐθεῖα ἐν ἑτέρῳ προσώπῳ νοουμένη μετὰ τοῦ συνόντος ῥήματος, ἐπίβουλος αὐτοῦ ἐστί, δοῦλός μου εἶ. Καὶ τοσαῦτα μὲν περὶ τῆς συντάξεως.

Περὶ δὲ τῆς ἀνυποστάτου εὐθείας ἡ ἀπόδειξις πάλιν ἂν γένοιτο τῇδε. Ἔφαμεν ἐν τοῖς προκειμένοις τὰς μὲν πλαγίας πτώσεις ἀναφέρεσθαι ἐπ' εὐθείας τῶν μεταξὺ ῥημάτων τὴν μὲν ἐνέργειαν ταῖς εὐθείαις ἀναπεμπόντων, τὸ δὲ πάθος ταῖς πλαγίαις, ὡς Διονύσιος ἔτυψε Θέωνα, ἐγώ σε ἐτίμησα. τὸ δὲ πάθος ἐγγενόμενον κατὰ τὰς πλαγίας μεθίστησιν αὐτὰς εἰς εὐθεῖαν, τῆς προκατειλεγμένης εὐθείας τρεπομένης εἰς γενικὴν μετὰ τῆς ὑπὸ προ-

θέσεως, ἐγὼ σε ἔδειρα, σὺ ἔδάρης ὑπ' ἐμοῦ. ἦν μέντοι καὶ τοῦτο ὁμόλογον, τό τινα διάθεσιν ἐμποιῆσαι οὐ μόνον εἰς ἕτερον πρόσωπον ἀλλὰ καὶ εἰς τὸ ἑαυτοῦ. ἐξ ἧς συντάξεως ἐπινοεῖτο τὸ δισσὸν σχῆμα τῆς ἀντωνυμίας, λέγω τὸ ἁπλοῦν, ὅ περ ἐστιν ἐν μεταβάσει ἑτέρου προσώπου, καὶ τὸ σύνθετον, ὅ περ τὴν ἐκ τοῦ αὐτοῦ προσώπου διάθεσιν ὑποστρέφουσαν εἶχεν εἰς αὐτὸ τὸ διατιθὲν πρόσωπον — ἔνθεν καὶ ἀνταναπλώμενον ἐπλήθη, ἀπὸ μεταφορᾶς τῶν εἰς αὑτὰ ἀνταναπλωμένων
176 σωμάτων, ἢ αὐτοπαθές· τὰ γὰρ ἁπλᾶ τῶν προσώπων ἐδείχθη ἀλλοπαθῆ, τουτέστιν ὑπὸ ἄλλων προσώπων διατιθέμενα —, πάνυ καὶ τῶν φωνῶν συνῳκειωμένων τῇ τοῦ συμφραζομένου ἑνώσει· ἐπεὶ γὰρ ἓν πρόσωπον τὸ διατιθὲν καὶ τὸ διατιθέμενον, μία καὶ ἡ φωνὴ κατὰ σύνθεσιν ἐγίνετο, ἐμαυτὸν ἔπαισα, ὑπ' ἐμαυτοῦ ἐπλήγην. εἰ περ οὖν αἱ πλάγιοι ἐπιζητοῦσιν εὐθείας, ἵν' ἡ διάθεσις προφανὴς γένηται ἡ ἔκ τινος γινομένη, πῶς ἡ σαυτοῦ γενήσεται σαυτός; γενομένη γὰρ πλαγίαν ἐπιζητήσει ἐφ' ἣν τὰ τῆς συντάξεως ἐρείσεται. Φήσει τις, πῶς δὴ πλαγία οὖσα ἐν τῇ σαυτόν οὐκ ἐπιζητήσει εὐθεῖαν ἐξ ἧς ἡ διάθεσις; πρὸς ὃν φαίημεν ὡς ἔνεστιν ἡ εὐθεῖα διὰ τοῦ ῥήματος, σαυτὸν ἔπαισας, τουτέστι σύ. γενομένη γὰρ ἐν τῷ σαυτὸς ἔπαισας δύο συνέζευ-

θείας, τήν τε ἐκ τῆς ἀντωνυμίας καὶ τὴν ἐκ τοῦ ῥήματος, δι' ὧν λόγον καταστῆσαι οὐκ ἂν δύναιτο, εἰ μὴ ἡ ἑτέρα αὐτῶν πλαγία γένοιτο. καὶ ἡ μὲν ἐκ τοῦ ῥήματος παρυφισταμένη ἄκλιτος, καθὸ ἄπτωτα τὰ ῥήματα· ἡ μέντοι ἐκ τῆς ἀντωνυμίας ἐφικτὴ εἰς τὸ κλιθῆναι. Ἔτι καὶεῖνό τις ἐπιζητήσει, ὡς, εἴ περ ἐκ τοῦ ῥήματος παρυφίσταται εὐθεῖα, οὕτως καὶ ἐκ τῆς ἐμαυτός καὶ σαυτός ὑποστήσεται πλαγία κατὰ τὸ ἄρχον μέρος τῆς ἀντωνυμίας, ἐμαυτὸς
177 ἔπαισα, τοιούτου ὄντος τοῦ λόγου, ἐμὲ αὐτὸς ἔπαισα, ὡς εἰ καὶ χωρὶς τῆς ἐπιταγματικῆς φαίημεν ἐμὲ ἔπαισα, καὶ οὐδὲν ἐμποδὼν τοῦ συστῆναι τὸ ἐμαυτὸς ἔπαισα. ἀλλ' ἔστι γε πρὸς τὸ τοιοῦτο φάναι ὡς οὐ μία πλαγία ἐστὶν ἡ παρυφισταμένη, αἱ τρεῖς δέ· τί γὰρ μᾶλλον ἐν τῷ ἐμαυτός ἔγκειται ἡ ἐμοῦ ἢ ἡ ἐμέ ἢ ἐμοί; καὶ ἦν χρεία τῶν τοιούτων πτώσεων ὑπὲρ τοῦ τὸ κατάλληλον προφανὲς γίνεσθαι, ἄδηλον δὲ γίνεται κατὰ τὴν σύνθεσιν· περισσὸν ἡγητέον τὸ ἄδηλον προκρῖναι τοῦ προφανοῦς καὶ συνήθους. Ἀλλ' ἴσως πρὸς τὸ τοιοῦτόν τις πάλιν ἐνστήσεται, ὡς τὰ ἀμφίβολα πρὸς τῶν συντασσομένων ἐκλύεται· εἴ περ οὖν τὰ συνόντα τῶν ῥημάτων οὐ πρὸς πᾶσαν πλαγίαν πτῶσιν εὐθετεῖται συνίστασθαι, ἀλλ' ἃ μὲν γενικὴν αἰτεῖ, ἃ δὲ αἰτιατικήν, τινὰ δὲ δοτικήν,

κήν, διὰ τῆς συντάξεως τοῦ ῥήματος τὸ ἄδηλον τῆς πτώσεως προφανὲς γενήσεται. φέρε γὰρ εἶναι τὸ τοιοῦτον, ἐμαυτὸς ἀκούω· τὸ ἀκούω γενικὴν μηνύει ἐγκειμένην, ἐφ' ἣν φέρεται· ἐμαυτὸς τύπτω· διὰ τοῦ τύπτω ἡ ἐμὲ αἰτιατικὴ δηλωθήσεται. ἀλλ' ἐκεῖνο πάλιν ἀνακύψει, ὡς ἕνια ἐπὶ δύο πτώσεις φέρεται; τέμνω σέ-τέμνω σοί, γυμνάζω σέ-γυμνάζω σοί· καὶ πῶς ἐπὶ τῶν τοιούτων τὸ ἐμαυτὸς τέμνω διάκρισιν τῆς πτώσεως ποιήσεται; οὐδὲ γὰρ ἐκ παραθέσεως ἄρθρου τὸ τοιοῦτο βοηθεῖται. μένον μέντοι τὸ σύνθετον σχῆμα τῇ συνηθεστέρᾳ παραδόσει διαπρίνει τὸ ἐμαυτὸν τέμνω καὶ ἐμαυτῷ τέμνω. Τὸ δὲ μεῖζον, εἰ καί τις ἀποσαίη τῆς τοιαύτης ἀποδείξεως, πάλιν μάτην τὰ τῆς ζητήσεως καταστήσεται· παραδεχθεῖσα γὰρ ἡ ἐμαυτὸς ἄκλιτος γενήσεται. οὔτε γὰρ κατὰ τὸν λόγον τῆς συνθέσεως δύναται κλίνεσθαι, λέγω ἐν μέσῃ τῇ λέξει, καθὸ ἅπαξ συντεθέντα τὰ πτωτικὰ ἄκλιτά ἐστιν· ἀλλ' οὐδὲ κατὰ τὸ τέλος· ἀεὶ γὰρ ἡ εὐθεῖα ἔστηκε μετὰ τοῦ ῥήματος, ἐγὼ ἀκούω σου, ἐγὼ ἐτίμων σε, ἐγώ σοι χαρίζομαι. καὶ δὴ ἐν τῷ ἐμαυτὸς ἔτυψα ἡ αἰτιατικὴ νοείσθω ἐκ τοῦ ἔτυψα. οὐχὶ οὖν γενήσεται ἄκλιτος ἡ ἐμαυτός κατὰ μὲν τὸ τέλος διὰ τὸ ῥῆμα, κατὰ δὲ τὸ ἄρχον διὰ τὴν σύνθεσιν; καὶ εἰ τοῦτο ὑγιές, πῶς οὐχὶ μάταιον τῆς ἐμαυ-

178

τοῦ ζητεῖν εὐθείαν; γενομένης γὰρ ἡ εὐθεῖα οὐχ ἕξει πλαγίαν, καὶ δῆλον ὡς καὶ πάλιν τῶν πλαγίων οὐσῶν οὐ γενήσεται ἡ εὐθεῖα.

26 Ἀκολούθως μέντοι προσκείσεται καὶ τὸ αἴτιον τοῦ μὴ συντεθῆναι τὴν εὐθεῖαν. ἔστω γὰρ σύνταξις ἡ ἐγὼ αὐτὸς ὕβρισα καὶ παθητικῶς ἐγὼ αὐτὸς ὑβρίσθην, ἐφ' ἧς ὁμόλογόν ἐστιν ὡς ἐν δυσὶ προσώποις αἱ ἐγγενόμεναι εἰσὶ διαθέσεις, ἥ τε τοῦ ὑβρίσαντος ἥ τε τοῦ ὑβρισθέντος. εἰ γὰρ πάλιν μοναδικὴ γένοιτο ἡ
179 διάθεσις ἐκ τοῦ αὐτοῦ προσώπου εἰς τὸ αὐτό, ὥστε φάναι ἐγὼ αὐτὸς ὕβρισα ἐμέ, ὑποστρέψει τὰ τῆς συντάξεως εἰς τὴν σύνθετον πλαγίαν ἐν τῷ ἐμαυτὸν ὕβρισα. Σαφὲς δὲ κἀκεῖνο, ὡς αἱ συνθέσεις πρὸς ἐξαλλαγὴν τῶν κατὰ παράθεσιν ἐπενοήθησαν. εἰ γὰρ τὴν αὐτὴν σημασίαν εἶχον τοῖς κατὰ παράθεσιν, κἂν πάντως παρέλκοντα ἦν τὰ συντιθέμενα τῶν σχημάτων. διαφέρει τὸ χήν καὶ ἀλώπηξ τοῦ χηναλώπηξ, τὸ μισῶν γυναῖκα τοῦ μισογύνης, ἄλλα πλεῖστα. εἰ δὴ οὖν τὸ ἐγὼ αὐτός συντιθὲν πλέον τι ἐσήμαινε τοῦ κατὰ παράθεσιν, ἀναγκαία ἦν ἡ σύνθεσις· νυνὶ δὲ οὐχ οὕτως ἔχει. ὅπου γοῦν ἐγένετο διαφορά τις ἐκ τῆς συνθέσεως, ἐκεῖσε καὶ προσεχώρησε τὰ τῆς συνθέσεως. αἱ πλάγιαι ἁπλαῖ οὖσαι σύνταξιν τὴν ἐφ' ἕτερον πρόσωπον ἔχουσι, συντεθεῖσαί γε μὴν ἀλλοτριοῦνται τῆς μεταβάσεως τοῦ προσώπου,

ὅ περ οὐκ ἐνεχώρει, ὡς ἔφαμέν γε, ἐπὶ τῆς εὐθείας. δεόντως ἄρα ἡ εὐθεῖα ἀπροσδεὴς ἐγένετο τῆς συνθέσεως.

27 Οὐ μόνον δὲ αἱ ἀντωνυμίαι ἐκ τῶν πλαγίων τὴν ἀρχὴν ἔσχον συνθέσεως, ἀλλὰ καὶ τὸ ἀλλήλων· οὐ γὰρ δή γε ἡ τούτου εὐθεῖα πάλιν συστατή. ἡ γὰρ τοῦ ῥήματος σύνταξις τὴν ἐν τοῖς δύο προσώποις μετάβασιν δηλοῖ· [180] τὸ γὰρ ἀλλήλων ἤκουσαν τοιοῦτόν τί ἐστιν, ἄλλοι ἄλλων, ἀλλήλους ἔπαισαν, ἄλλοι ἄλλους. ἐγγενομένης γὰρ τῆς εὐθείας ἐν τῷ ἀλλήλοι νοηθήσεται τὸ ἄλλοι ἄλλοι, ὅ περ ἔλεγον· οὐ γὰρ κατακλείει διὰ τὸ ἐπάλληλον τῶν δύο εὐθειῶν. Ἔστι γε μὴν οὐχ ὅμοιον τῇ ἀντωνυμικῇ συνθέσει. ἡ μὲν γὰρ τὴν αὐτοπάθειαν σημαίνει, ἑαυτοὺς ἔτυψαν, ἡ δὲ τὴν ἐκ προσώπων πρὸς ἕτερα πρόσωπα μετάβασιν. τὸ γὰρ

ἀλλήλους τρώσητε

οὐ ταὐτόν ἐστι τῷ ἑαυτοὺς τρώσητε, ὥς περ καὶ τὸ Πινδαρικὸν οἱ περὶ Τρύφωνα ἐσημειοῦντο ἐπί τε τοῦ Ὦτου καὶ τοῦ Ἐφιάλτου, συγκατατιθέμενοι μὲν τῷ

ἀλλαλοφόνους ἐπάξαντο λόγχας,

οὐ μὴν τῷ

ἐνὶ σφίσιν αὐτοῖς·

οὐ γὰρ ἑαυτοῖς τὰ δόρατα ἐνῆκαν ἀλλ' ἀλλήλοις. φαίνεται δὲ ὅτι καὶ ἡ ἐξ αὐτοῦ σύνταξις,

πλαγίαν ἐπιζητοῦσα καὶ εὐθεῖαν, διόντως τὴν εὐθεῖαν ἐν τῷ ἄρχοντι μέρει ἥνωσεν, ἵνα κατὰ τὸν λόγον τῆς φωνῆς ἀκίνητος μένῃ καὶ κατὰ τὸ δέον τῆς συντάξεως διὰ τὸ συνερχόμενον ῥῆμα· τὸ τέλος δὲ κινεῖται. ἐν γὰρ τῷ ἀλλήλους ἔτυψαν τὸ ἔτυψαν πρὸς τὴν ἀρκτικὴν σύνθεσιν ἀναφέρεται, ἄλλοι ἔτυψαν ἄλλους, καὶ ἐπεὶ χρεία τῶν διαφόρων πλαγίων πτώσεων, ἵνα τὰ συνόντα τῶν ῥημάτων τοῦ καταλλήλου τύχῃ, εἰς τὸ κλιτικὸν μέρος παραλαμβάνονται, λέγω τὸ τελικόν, ἵνα δεόντως
18. διὰ τὸ ἤκουσαν γενικὴν ὁμολογήσῃ, αἰτιατικήν τε ἐν τῷ ἀλλήλους διὰ τὸ ἔτυψαν ἢ τι τῶν τοιούτων, καὶ ἔτι δοτικὴν ἐν τῷ ἀλλήλοις διὰ τὸ ἐχαρίσαντο. πρόδηλον γὰρ πάλιν ὡς εἰ ἀντέστραπτο ἡ σύνθεσις, ἄκλιτον τὸ μόριον καθειστήκει, καθὸ πάλιν οὔτε τὰ ἡνωμένα κινεῖται οὔτε ἡ εὐθεῖα μετὰ τῶν ῥημάτων ἀφίσταται τῆς τοιαύτης συντάξεως.

28 Ἐπεὶ δὲ καὶ ταῖς συνθέτοις ἀντωνυμίαις ἀριθμὸς πληθυντικὸς σύνεστιν ἐν τρίτοις προσώποις, οὐ μὴν ἐν πρώτῳ καὶ δευτέρῳ, ἀνάγκη περὶ τοῦ τοιούτου τὸ δέον παραστῆσαι. Τὸν μὲν οὖν Ἀρίσταρχόν φασι μὴ παραδέξασθαι τὰς ἐγγενομένας τῶν τρίτων προσώπων συνθέσεις, καθὸ ἀνέφικτον τὸ ἐνικῶς συντεθὲν πρόσωπον εἰς πληθυντικὸν μετατίθεσθαι, ὡς ἔχει τὸ ἑαυτόν τε καὶ ἑαυτούς, ἔτι ἐπιμαρτυρούμε-

νον τὴν τοῦ πρώτου καὶ δευτέρου προσώπου χρῆσιν; ἢ τις οὐ γενομένη διήλεγχε τὴν κατὰ τὸ τρίτον οὐ δεάντως γενομένην σύνθεσιν, καὶ τρίτου παρατιθέμενον τὴν Ὁμυρικὴν χρῆσιν· πρὸς γὰρ ἀκολουθίαν τὴν τοῦ ἡμέας αὐτούς καὶ ὑμέας αὐτούς ἦν πάλιν τρίτου προσώπου τὸ σφέας αὐτούς. Ὁ γε μὴν Ἄβρων πειρᾶται τοὺς τοιούτους λόγους ἀνασκευάζειν τὴν χρῆσιν ἐπάγων καὶ ταύτην πιστούμενος ἐκ παραθέσεων Πλατωνικῶν· καὶ ὡς ἔνδεκτον εἶναι ἀπὸ ἑνικῆς συνθέσεως γίνεσθαι πληθυντικὸν ἀριθμόν, ὅπου γε καὶ τὸ ἐνδέκατος συντεθὲν ἀποτελεῖ τὸ ἐνδέκατοι πληθυντικόν. οὐ μήν, φησίν, ἀνάγκη τὸ ἐν τρίτῳ γενόμενον πάντως καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ προσώπῳ γίνεσθαι, τουτέστιν οὐ μὴ πάντως ἐξακολουθήσει τῷ ἑαυτῶν ἢ ἑαυτούς τὸ ἐμαυτούς ἢ ἐμαυτῶν [ἢ σαυτούς], εἴ γε καὶ τὰ ἐν τοῖς πρώτοις καὶ δευτέροις γινόμενα οὐ πάντως καὶ ἐν τρίτοις· εἰσὶ γοῦν πρώτου καὶ δευτέρου προσώπου δυϊκαὶ ὀρθῆς πτώσεως, οὐ μὴν τρίτου. καὶ φαίνεται ὅτι εἰς τὸ τοιοῦτο κἀκεῖνο ἂν προσηγάγετο, ὡς ἡ ἐκεῖνός ἐστιν ἐν τρίτοις, οὐ μὴν σύζυγοι ταύτης κατὰ πρῶτον καὶ δεύτερον, ἥ αὐτός, ἥ οὗτος, ἥ μίν· καὶ ὅταν μὲν ἀρθατονοῦνται ἐν πρώτῳ καὶ δευτέρῳ δυϊκαί, αἱ δὲ κατὰ τὸ τρίτον μόνως ἐγκλιτικαί· καὶ κτητικαί εἰσι πρώτου καὶ δευτέρου δυϊκαί, οὐ μὴν τρίτου.

φησὶ δέ που κἀκεῖνο, ὡς κατὰ τύχην τινὰ ἡ χρῆσις παρεώσατο, καὶ οὐδὲν ἐμποδὼν ταὐτὸν παρηκολουθηκέναι ταῖς συνθέτοις ἀντωνυ-
29 μίαις. Ὑπέρ γε μὴν τοῦ Ἀριστάρχου ἔστι φάναι ὡς οὐ συνεῖδε τὸ πρὸς αὐτοῦ εἰρημένον. οὐ γὰρ ἐν ἀγνοίᾳ ἦν τοῦ ἐνδέκατοι, οὐδ' ὅτι ἀπὸ ἑνικῆς συνθέσεως πληθυντικὴ παρέμφασις γί-
183 νεται. ἔστι γὰρ ἐπινοῆσαι τὸ πρὸς αὐτοῦ διαπορηθὲν οὕτως. εἴ περ ἐκ δύο ἑνικῶν συνέστηκε τὸ ἑαυτόν, καὶ δύο ἑνικὰ ἐπὶ ἓν πρόσωπον συντείνει διάθεσιν δηλοῦν τὴν ἐξ ἑαυτοῦ εἰς ἑαυτό, πῶς ἐκ τοῦ τοιούτου πλήθους παρέμφασις ἂν γένοιτο, τῆς μὲν κατ' ἀρχὴν συνθέσεως ἑνικὸν ἀριθμὸν ὑπαγορευούσης, τῆς δὲ κατὰ τὸ τέλος πληθυντικόν; Οὐ γάρ ἐστιν ὅμοιον τὸ ἑνδέκατος καὶ ἑνδέκατοι· δύο γὰρ ὑποκειμένων παρέμπτωσίς ἐστι· μετὰ γὰρ δέκα εἷς. οὕτως ἔχει καὶ τὸ ἑνδέκατοι· πάλιν γὰρ μετὰ δέκα ἢ πλείους ὑπὸ τάξιν τὴν τοῦ δέκα ἐξαριθμούμενοι μετέσχον τοῦ καλεῖσθαι ἑνδέκατοι. Ἀλλά, φήσει τις, πῶς τοῦ ἑνὸς ἐγκειμένου ἔμφασις πληθυντικοῦ γίνεται; πρόκειται οὖν ὅτι τάξεως ὀνόματά ἐστιν· ἄλλως τε αἱ δύο προσώπων ἐμφαντικαὶ συνθέσεις καὶ ἐξ ἑνικῆς συνθέσεως πλῆθος ὑπαγορεύουσι καὶ ἐκ πληθυντικῶν ἓν παρεμφαίνουσι· τὸ γὰρ φιλάνθρωπος ἑνικῶς συντεθὲν πλῆθος ὑπαγορεύει, καὶ ἐκ τῶν ἐναντίων πληθυντικῶς λεγόμενον τὸ φιλοπλάτωνες ἕνα τὸν

Πλάτωνα σημαίνει. οὐ δὴ οὖν παρηλλαγμένον καὶ τὸ ἐνδέκατον ἐξ ἐνικῆς συνθέσεως πλέον τι παραστῆσαι· διάφορα γὰρ τὰ πρόσωπα. ὃ περ οὐκ ἐνεχώρει ἐπὶ τῆς ἑαυτόν, ὡς εἴπομεν, ἐν
184 καὶ τὸ αὐτὸ πρόσωπον. Πῶς δ' οὐχὶ εὐηθες φάναι ἔλλειψιν κατὰ τύχην γεγενῆσθαι τοῦ τρίτου προσώπου κατ' εὐθεῖαν πτῶσιν; λέγω ἐπὶ τοῦ δυϊκοῦ ἀριθμοῦ. φυσικώτερον γὰρ ἡ ἀντωνυμία ἀπέστη, εἴ γε οὐδέτερος τῶν τόνων αὐτῆς παρεδέχετο. οὔτε γὰρ ὁ ὀρθοτονούμενος, ὅτι τρίτου προσώπου δυϊκαί, αἷς παρείπετο τὸ μόνως ἐγκλίνεσθαι· οὔτε ὁ ἐγκλιτικός, εἴ γε ἀδύνατον εὐθείας πτώσεως ἐγκλιτικὴν εὑρέσθαι ἀντωνυμίαν. ἡ γοῦν βιασθεῖσα πρὸς Δωριέων, ἅμα τῷ ἐγκλιθῆναι παρεῖσα τὴν οὐ δυναμένην ἐγκλιθῆναι πτῶσιν, μεταπίπτει εἰς τὴν συγγενῆ αἰτιατικήν. Κτητικὴ γε μὴν τρίτου προσώπου δυϊκὴ οὐκ ἐγένετο, οὐχ ὥς τινες ᾠήθησαν, ὅτι οὐδὲ τρίτου προσώπου δυϊκὴ ἔστι γενικῆς πτώσεως, ἀφ' ἧς ἔδει παρῆχθαι τὴν κτητικήν, ἀλλ' αἱ παρειλημμέναι δοτικαί εἰσιν ἀντὶ γενικῶν. ἔστι γὰρ καὶ ἕνεκα τῆς φωνῆς καὶ ἕνεκα τοῦ σημαινομένου, οὐ μὴν παρήχθη ἐξ αὐτῆς κτητικόν, καθότι ἐπεδείξαμεν ἐξ ὀρθοτονουμένων τὰς παραγωγὰς γίνεσθαι. Ἀλλὰ μὴν καὶ ἐν τοῖς προειρημένοις εἴρηται ὡς δεόντως πλείονες ἐκ τρίτων προσώπων ἐγένοντο ἀντωνυμίαι. πῶς δ' οὐ δοθήσεται τὸ ἔλαττον ὑ-

πὸ τοῦ πλείονος διελέγχεσθαι, οὐ μόνον ἐν παραθέσει τῶν λέξεων ἀλλὰ καὶ ὅτε ἡ συμπεφωνημένη παρὰ πᾶσιν ἱστορία τὴν παρηλλαγμένην πρός τινος οὐ προσίεται, καὶ σχεδὸν ἐπὶ ἁπάντων τὸ τοιοῦτον συμφωνεῖ. οὐ δῆτα κατὰ τύχην πλείονα σχήματα δύναται σεσιγῆσθαι τῶν ὄντων· ὡς γὰρ πρόκειται, ἐκ τῶν ἐναντίων δύναται. ἀλλ' οὐδ' ὑπ' ἀκολουθίαν τὰ ὑπωσδήποτε ἐκλείποντά ἐστι. γυμῆς γοῦν οὔ φαμεν, καὶ οὐ πάντα τὰ τοιαῦτα συνεκλείπει· ἀλλ' οὐδὲ ὁ μεγάλος, καὶ οὐ πάντα τὰ εἰς ος λήγοντα συνεξέλιπεν ἄλλα πλεῖστα. πρὸς οἷς ἀντὶ τούτων ἑτέρα θέσις ἔστιν ἰσοδυναμοῦσα, ἡ γυναικός ἀντὶ τοῦ γυμῆς, ἡ μέγας ἀντὶ τοῦ μεγάλος, τὸ ὕδωρ ἀντὶ τοῦ ὕδας. πῶς οὖν ἡ ἐμαυτῶν καὶ αἱ ἑξῆς μετὰ τῶν συνόντων προσώπων ὡς ἐξ ἐπιτάγματος ἀπεώσθησαν καὶ τοῦ κοινοῦ ἔθους καὶ τοῦ παρὰ ποιηταῖς; οἷς προσφιλὲς μᾶλλον μεταδιώκειν τὸ παρηλλαγμένον τῆς συνήθους χρήσεως. δίδοται γοῦν καὶ ἐν ἀντωνυμίαις σέο φάναι καὶ μίν καὶ ἄλλα πλεῖστα.

Λείπεται οὖν ἐκεῖνο προσδιασαφῆσαι, εἴ περ τὸ σφέας αὐτούς ἀναλογώτερον τοῦ ἑαυτούς, τί δή ποτε, καὶ εἰ ἐν ἐλάττονι λόγῳ τὸ ἑαυτούς τετόλμηται κατὰ τρίτον πρόσωπον ἐγγενίσθαι, τί μὴ καὶ κατὰ τὸ αὐτὸ ἀκόλουθον καὶ ἐν τῷ ἡμέας αὐτούς ἐνεχώρησε, κἂν πά-

λιν ἐν ἐλάττονι λόγῳ καταγίνηται, τὸ ἐμαυτούς; ὁ αὐτὸς λόγος καὶπὶ τοῦ δευτέρου προσώπου. Ἐπιδέδεικται ἐν τοῖς προκειμένοις ὡς ἐπενοήθησαν αἱ σύνθετοι ἀντωνυμίαι εἰς τὸ μὴ παραδέξασθαι διαφόρου προσώπου σύνταξιν τῶν ἁπλῶν συνταττομένων διαφόροις προ-
30 σώποις. ἦν δὲ κἀκεῖνο ἀληθές, ὡς ἅπαν πλη-
186 θυντικὸν πρώτου προσώπου καὶ δευτέρου σύλληψιν ἀναδέχεται διαφόρων προσώπων, ἢ πρώτου καὶ δευτέρου ἢ πρώτου καὶ τρίτου ἢ δευτέρου καὶ τρίτου. τὸ γὰρ ἡμᾶς τοιοῦτόν ἐστιν, ἐμὲ καὶ σὲ κἀκεῖνον, ἢ ἐμὲ καὶ ὑμᾶς, ἢ ἐμὲ καὶ αὐτούς. ὁ αὐτὸς λόγος καὶπὶ τοῦ δευτέρου πάλιν γὰρ τὸ ὑμᾶς σὲ καὶ αὐτούς ἐστι. πῶς οὖν ἡ ἐμαυτοῦ ἀντωνυμία καὶ αἱ σύζυγοι ἐπιδέξονται ἀριθμὸν μαχόμενον τῷ ἰδιώματι τῆς συνθέσεως, καθὸ διάφορα πρόσωπα νοηθήσεται, ἐκ συλλήψεως γινόμενα πρώτου καὶ τρίτου ἢ δευτέρου καὶ τρίτου; τό γε μὴν τρίτον πρόσωπον, ἀπεωσμένον τῆς προειρημένης τηρήσεως, λέγω τῶν διαφόρων προσώπων, εὐέφικτον ἔσχε τὴν εἰς τὸ πληθυντικὸν μετάθεσιν· ἦν γὰρ ἐκ τῶν αὐτῶν προσώπων συνεστηκός. Φαίνεται δ' ὅτι καὶ κατὰ τὸν προειρημένων λόγον οὐκ ἀπορήσει τις δι' ἣν αἰτίαν ἐκ πληθυντικῶν πληθυντικαὶ συνθέσεις οὐκ ἐγένοντο. ἐκ γὰρ τῶν ἁπλῶν πληθυντικῶν ἀντωνυμιῶν ἔστιν ἐπινοῆσαι τὸ μαχόμενον ὡς πρὸς τὴν σύνθετον ἀν-

τωνυμίαν. εἴπομεν γὰρ ὅτι ἐπιμιξίαι διαφόρων προσώπων εἰσὶν ἐν πληθυντικοῖς· περισσὸν οὖν
281 τὸ τὰς πληθυντικὰς ἀντωνυμίας συντίθεσθαι, ὅπου γε καὶ αἱ ἑνικαὶ ἀντωνυμίαι συντεθεῖσαι παρέμειναν τῷ ἑνικῷ ἀριθμῷ. ἀλλ' οὐδὲ τὸ σφέας αὐτούς καὶ τὰ τοιαῦτα, οὐκ ὄντα ἐκ διαφόρων προσώπων, συνετέθη; καθὸ τὸ ἐσόμενον ἐξ αὐτῶν εὔχρηστον ἡ προειληφυῖα πληθυντικὴ προφορὰ περιέγραψεν, εἰς ἣν καὶ μεταλαμβάνονται·

σφέας αὐτοὺς ἀρτύναντες,
ἑαυτοὺς παρασκευάσαντες.

31 Ἐπεὶ οὖν ἐδείχθησαν αἱ σύνθετοι πληθυντικαὶ ἀντωνυμίαι κατὰ τὸ προειρημένον τήρημα, φέρε καὶ εἰς ἐντέλειαν τοῦ λόγου περὶ τοῦ ἡμεδαπός καὶ ὑμεδαπός διαλάβωμεν, ἐπεί τινες οὐδὲ κατ' ὀλίγον ἐνδοιάζουσιν ὡς παρὰ τὸ ἡμῶν καὶ τὸ ἔδαφος τὰ τῆς συνθέσεως ἀπετελέσθη. οἷς ἂν τις συνηχορήσειε μαρτυρόμενος καὶ τὸν ἀπὸ τῆς φωνῆς λόγον καὶ τὸν ἀπὸ τοῦ δηλουμένου, εἴ γε παντὶ συνθέτῳ τὸ τοιοῦτο παρακολουθεῖ· ἐν γὰρ τῷ μισογύνης καὶ τὸ μισεῖν ἔγκειται καὶ ἡ γυνή, καὶ ἐν τῷ φιλόπονος τὸ φιλεῖν καὶ ὁ πόνος. οὐ γὰρ τὰ ἐν μιᾷ λέξει ἁπλῇ πλείονα σημαίνοντα σύνθετα, ὡς ἐπὶ τοῦ τοξότης, σκυτεύς, κἂν ἐνέργειαν σημαίνῃ τὴν τοῦ τέμνειν, εἰ μὴ καὶ τὴν φωνὴν προσλάβοι ἐν τῷ σκυτοτόμος. ἐντεῦθεν τὸ Ἀρίσταρχος καὶ τὰ

τούτῳ ὅμοια κύρια ὄντα πρὸς ἐνίων οὐ κατηριθμεῖτο εἰς τὰ σύνθετα, ὅτι μὴ καὶ τοῖς δηλουμένοις ἐχέχρητο. ἀλλ' ἐπί γε τούτων ἐδείκνυτο ὡς ἡ πρώτη σύνθεσις ἐπικράτει, καθὼς ἔχει τὸ ἀρίσταρχος Ζεύς παρὰ τοῖς περὶ Βακχυλίδην, καὶ οὐχ ἡ ἐξ ὑστέρου γενομένη συμβολικὴ μετάθεσις. ἐγκειμένων οὖν καὶ τῶν φωνῶν καὶ τῶν σημαινομένων ἀκώλυτον τὸ φάναι σύνθετα τὰ σχήματα. Ἀλλ' ἔδει, φασίν, αὐτὰ βαρύνεσθαι, καθὼς ἔχει τὸ ἄξιφος, δύςριγος, εὔτειχος. τὸ τοιοῦτο δ' οὐ συνεκτικόν· ἴδου γὰρ καὶ ἐπ' ἄλλων συνθέσεων διάφοροι τόνοι ἐγένοντο. ὀξύνεται τὸ ἐντελής, εὐειδής, ἀλλ' οὐκέτι τὸ εὐμήκης, μεγακήτης, καθὸ τὸ ἦ ἔχει παρεδρευόμενον. τί οὖν ἐμποδίζει τὸ φάναι τὰ παρὰ τὸ ἔδαφος συντιθέμενα ὀξύνεσθαι, καθὸ καὶ τὰ παρὰ τὸ ἔργον ἐν τῷ ναοεργός, ὑπουργός, εἰ μὴ τὰ ῥήματα προϋπέστη, λέγω τὸ ὑπουργῶ καὶ τὰ ὅμοια. Ἀλλὰ κοινά, φασίν, αὐτὰ ἔδει εἶναι. πρὸς ὃ ἔστι πάλιν φάναι ὡς ἅπαξ εἰ δέδοται ἡ ὀξεῖα τάσις, συνδοθήσεται καὶ ἡ τοῦ γένους παραλλαγή, εἴ γε τὰ κοινὰ καὶ ἐν βαρείᾳ ἐστὶ τάσει, κακόπαθος, δύςριγος.

Εἴη δ' ἂν καὶ τὰ τῆς ἀνασκευῆς ἀκριβέστερα, εἰ τῇδέ τις ἀποφαίνοιτο, ὡς οὐδέποτε ἀντωνυμία πρώτου ἢ δευτέρου προσώπου συντίθεται μετὰ ἄλλου μέρους λόγου, καὶ ὡς οὐ-

δέποτε πληθυντικὴ ἀντωνυμία συντίθεται· παράγονται γὰρ μᾶλλον αἱ ἀντωνυμίαι ἢ περ συντίθενται μετὰ ἄλλου μέρους λόγου, καθά περ παρὰ τὸ ἐμοῦ ἐμός, νῶϊν νωΐτερος, ἡμῶν ἡμέτερος. εἰ γὰρ δοθείη τὰ τῆς συνθέσεως, οὐ συστήσεται οὔτε ἐν ἀντωνυμίαις τὰ σχήματα οὔτε ἐν ὀνόμασιν. εἰ γὰρ ἐν ταῖς συνθέσεσι τὰ τέλη ἐπικρατεῖ, εἴ γε τὸ μισάνθρωπος ὄνομα κἂν τὸ μισεῖν ῥῆμα ἐνυπάρχῃ, καὶ τὸ εὐσεβῶ ῥῆμα κἂν τὸ εὖ ἐπίῤῥημα ἐγκέηται, ὁμοίως καὶ τὸ χειρογραφῶ κἂν ἡ χεὶρ συνυπάρχῃ, καὶ ἕνεκα τοῦ τοιούτου πᾶν μέρος λόγου ἔστιν ἐπινοῆσαι τὸ αὐτὸ καὶ ἁπλοῦν καὶ σύνθετον, λέγω τὸ δυνάμενον συντεθῆναι, οὐ μὴν τὴν πρόθεσιν καί τοι ἀπειράκις τοῦ μορίου συντεθειμένου, καθὸ ἡ σύνθεσις ἅπαντοτε αὐτῆς ἐν ἀρχῇ ἐστίν, ἡ δὲ ἀρχὴ οὐκ ἐπικρατεῖ, — εἰ δὴ τοῦτο ἀληθές, πῶς οὐκ ὄνομα τὸ ἡμεδαπός, εἰ τὸ ἔδαφος ἔγκειται; ἀλλὰ πῶς ὄνομα τὸ ἀντ' ὀνόματος παραλαμβανόμενον; πῶς ὄνομα ὡρισμένου προσώπου διάκρισιν ποιεῖται; φαμὲν γὰρ ἡμεδαπός καὶ ὑμεδαπός, ἑαυτούς τε ἀντονομάζοντες καὶ πρὸς οὓς ἡ ἀπόστασις. Ἀλλά, φήσει τις, καὶ αἱ παραγωγαὶ ἐπικρατοῦσιν, εἴ γε παρὰ τὸ ὀψέ ὀψινός, οὐκ ἐπίῤῥημα, καὶ παρὰ τὸ ποιῶ ῥῆμα ὄνομα τὸ ποιητής. οὕτως εἰ παράγωγον τὸ ἡμεδαπός, δοθείη ἂν τὸ πᾶν ὄνομα εἶναι. πρὸς ὃν φήσομεν, τὸ ὀψινός ἀπέ-

στησε τὸ ἐπίῤῥημα πτῶσιν καὶ γένος ἐπιδεξάμενον, ἐπιθετικῶς ἐπ' ὄνομα φερόμενον καὶ οὐκέτι ἐπὶ ῥῆμα, εἴ γε διαφέρει τὸ ὀψὲ ἦλθε τοῦ ὀψινὸς ὁ Διονύσιος ἦλθε, εἴ γε τὸ ὁ ποιητὴς οὐκ ἐν ἀκολουθίᾳ ἐνέργειαν καὶ πάθος ἔχει, οὐ προςώπου διάκρισιν, οὐ χρόνου μετασχηματισμόν. τὸ μέντοι ἡμεδαπός, ἐπεὶ αὐτ' ὀνόματός ἐστιν, ἔτι τὰ πρόςωπα διακρίνει οὐκ ἀπέστη οὖν τοῦ ἰδιώματος, καὶ ἕνεκα τούτου οὐδὲ τῆς ὀνομασίας ἀποστήσεται, ᾧ λόγῳ καὶ τὸ ἡμέτερος μένει ἔτι ἀντωνυμία, κἂν ἡ κατὰ τὸ τέλος παραγωγὴ ὀνοματικὴ καθεστήκῃ· ἅπαντα γὰρ πάλιν διασώζει τὰ τῆς ἀντωνυμίας. Τοῦ τοιούτου δ' ἀποδειχθέντος καὶ τὰ προειρημένα συλλήψεται τῷ λόγῳ, οὐ μὴν συνεκτικὰ γενήσεται, καθὼς πρόκειται, ἔτι καὶ τῆς γραφῆς ὁμολογούσης τῷ μὴ ἔχειν τὸ ἴδαφος. ἡ ψευδὴς οὖν ὑπόληψις ἐγένετο ἐκ τοῦ τὴν παραγωγὴν ὁμοίαν καθίστασθαι τῇ τοῦ ἐδάφους φωνῇ, καθότι καὶ ἄλλαι πλεῖσταί εἰσι τοιαῦται δόξαι, εἴ γε τὸ χαλκήρης οὐ τὸ ἀρηρέναι ἔχει, ὅμοιον δέ ἐστι τῷ Φανίας καὶ Ἀρχίας καὶ Γοργίας, οὐδὲ μὴν ἔχει τὸ τηρεῖν τὸ μελιτηρὸν ἀγγεῖον, ἀπὸ γενικῆς δὲ τῆς μέλιτος ὡς δείματος δειματηρός, καμάτου καματηρός, ὀλίσθου ὀλισθηρός· ἔστιν εἰς τὸ τοιοῦτο πάμπολλα παραθέσθαι. ὃν οὖν τρόπον καὶ ἄλλαι παραγωγαὶ λέξεως σημαινόμενον ἀποτελοῦσιν

εἰς ἣν καὶ μεταλαμβάνονται — Κρονίδης γὰρ ὁ τοῦ Κρόνου υἱός, καὶ γοργότερος ὁ μᾶλλόν τινος γοργός, καὶ ἐν ἐπιῤῥήμασιν οἴκοθι ἐν οἴκῳ —, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ἡμεδαπός ἐθνικῶς παραχθὲν μετὰ τοῦ σημαινομένου καὶ τὴν παραγωγὴν ἔσχε συντρέχουσαν τῇ μεταλήψει τοῦ ὀνόματος.

Χρὴ μέντοι κἀκείνῳ ἐπιστῆσαι, δι' ἣν αἰτίαν ἀπὸ μόνων πληθυντικῶν ἡ παραγωγὴ ἐγένετο, τῶν κτητικῶν ἀντωνυμιῶν καθ' ἕκαστον ἀριθμὸν παρημμένων, καὶ διότι μέχρι τρίτων ἡ παραγωγὴ οὐ συνέτεινεν. ἀντὶ γὰρ τῆς σφετεροδαπός τὸ ἀλλοδαπός παρήχθη, καὶ οὐ τολμῶ τοῦτο φάναι, ὡς τὸ ἄλλος ἀντωνυμία ἐστίν, ὅπου γε καὶ μάχεται τῇ ἐννοίᾳ τῶν ἀντωνυμιῶν· ἃ γὰρ ὁρίζει ἡ ἀντωνυμία, ταῦτα ὑπὸ τοῦ ἄλλος ἀναιρούμενα ἀοριστοῦται, ἄλλος, οὐκ ἐγώ· ἄλλος, οὐ σύ. Πρὸς μὲν οὖν τὸ πρότερον ἔστι φάναι ὡς μᾶλλον ἀνέφικτον ἦν ἐξ ἐνικῶν ἢ δυϊκῶν ἐθνικὴν παραγωγὴν γενέσθαι· οὐ γὰρ δή τις ἐπινοήσει ἔθνος ἐν ἑνὶ ἀνθρώπῳ ἢ δυσίν, ἐν μέντοι ἀπείροις, οἷον ὁ φάμενος οὗτος ἡμεδαπός ἐστι συλλαμβάνει ἑαυτόν τε καὶ τοὺς σὺν αὐτῷ πολίτας. τό γε μὴν ἡμός, ἡμέτερος, φερόμενα ἐπὶ πάντα τὰ δυνάμενα ὑπὸ κτῆσιν πίπτειν, ἀδιάφορον ἔσχε τὸ ἀπὸ παντὸς ἀριθμοῦ τὴν παραγωγὴν ἀναδέξασθαι. διὸ τῷ μὲν ἡμέτερος ὑπακούεται τὸ

πολίτης, οὐ μὴν τῷ ἡμεδαπός· εἰς γὰρ τὸ τοι-
192 οῦτον ἡ παραγωγὴ ἐμόνασεν. Ὑπὲρ δὲ τοῦ τὴν
ἐν τῷ τρίτῳ προσώπῳ μὴ παραδεδέχθαι οἰή-
σεταί τις αἴτιον τὸ ἀσύνηθες τῆς ἀντωνυμίας·
ὃ περ οὐ πιθανόν. ἔστι γοῦν καὶ τὸ σφετερίζε-
σθαι παρηγμένον ἀπὸ ἀσυνήθους τῆς σφέ· καὶ
ἔτι τὸ μὲν μᾶλον ἀσύνηθες ὡς πρὸς τὴν ὀνο-
μασίαν τοῦ προβάτου, οὐ μὴν τὸ ἀπ' αὐτοῦ
παράγωγον, λέγω τὸ μηλωτή· καὶ ἔτι τὸ δέρ-
κεσθαι, οὐ μὴν τὸ δορκάς ἢ σύνθετον τὸ ὀξυ-
δορκεῖν. φαίνεται γὰρ ὅτι φυσικώτερόν πως τὰ
τῆς ἐλλείψεως ἐγένετο. ὃν γὰρ τρόπον οὐκ ἀπί-
θανος ἀφορμὴ ἐγένετο τῆς ἐν τρίτοις συνθέσε-
ως, λέγω κατὰ τὸ πληθυντικόν, τῆς ἐν πρώ-
τῳ καὶ δευτέρῳ προσώπῳ οὐκ ἐγγενομένης, τὸν
αὐτὸν τρόπον ἐγγενομένων κατὰ τὴν παραγω-
γὴν τῶν κατὰ τὸ πρῶτον καὶ δεύτερον οὐκ ἐξα-
κολουθήσει τὸ πάντως καὶ κατὰ τὸ τρίτον τὴν
παραγωγὴν γενέσθαι. καὶ δῆλον ὅτι αἰτίας
ὑπούσης· ὁμόλογόν ἐστιν ὡς τὰ πρῶτα καὶ δεύ-
τερα ἐνικὰ σύλληψιν εἰς ἑαυτὰ ποιεῖται τῶν κα-
τὰ τὸ τρίτον διαφόρων προσώπων. ὁ γὰρ λέ-
γων ἡμᾶς ἑαυτόν τε λέγει καὶ τὰ συνόντα ἔξω-
θεν αὐτῷ πρόσωπα, καὶ ἀποτεινόμενός τις ἐρεῖ
ὑμᾶς, συλλαμβάνων πάλιν καὶ τὸ παρὸν
πρόσωπον καὶ τὰ ἀπόντα. ἀπὸ δὴ τούτων
ἐθνικὴ παραγωγὴ γινομένη τῇ ἐπικρατείᾳ τῶν
ἐγκειμένων ἐνικῶν κατὰ τὸ πρῶτον καὶ δεύτερον

32 ἓν καὶ τὸ ἔθνος παραστήσει. τό γε μὴν τρί-
195 τον ἐκ πλειόνων τρίτων νοούμενον οὐ ποιήσεται
ἐθνικὴν παραγωγήν· δηλώσει γὰρ οὐχ ἓν ἔ-
θνος, ἀλλὰ πάντα τὰ δυνάμενα ἐμπεριλαμβά-
νεσθαι κατὰ τὸ τρίτον πληθυντικόν. οὐ γὰρ 5
ὡς ἔφαμεν, ἐξ ἐνικῆς ἐπικρατείας τρίτον ἐστίν,
ἵν' οὕτω καὶ ἡ ἐθνικὴ παραγωγὴ μία νοηθῇ
ὡς ἐπὶ τοῦ ἡμεδαπός. Ἄλλως τε ἐγχωρούν-
των τῶν ἐθνικῶν ὀνομάτων κατὰ τὸ τρίτον πα-
ραλαμβάνεσθαι τὰ τοῦ ἐπιμερισμοῦ τῶν ἐθνι- 10
κῶν γίνεται, ὅτε φαμὲν Περγαμηνός, Ἐδεσσηνός,
Ἀλεξανδρεύς. ὃ περ οὐκ ἐνεχώρει ἐπὶ πρώτου
καὶ δευτέρου, λέγω τὰ ὀνόματα παραλαμβά-
νεσθαι. εἰ γοῦν Ἀθηναῖος ἀφορῶν εἰς Ἀθηναῖον
εἴποι ὅδε Ἀθηναίων πολίτης ἐστίν, ἑαυ- 15
τὸν ἀποστήσει τοῦ ἔθνους, καθὸ οὐ συνείλη-
πται τοῖς Ἀθηναίοις· συλλαμβανόμενος δὲ ἐν
πρώτῳ γενήσεται προσώπῳ, καθότι αὐτὸς ἀ-
ποφαίνεται. καὶ τὸ ἐν πρώτῳ προσώπῳ παρα-
λαμβανόμενον ὄνομα μὲν οὐ δύναται εἶναι, ἀν- 20
τωνυμία δὲ· σαφὲς ὅτι ἀντονομάσει ἑαυτόν. καὶ
εἰ τὸ πρῶτον ἐπικρατεῖ τῶν διαφόρων προσώ-
πων, οὐκ ἄλλο τι ἐπιγενήσεται ἢ τὸ ἡμεδα-
πός, ὃ περ τὴν ἀνάλυσιν ἕξει εἰς τὸ ἡμῶν πο-
λίτης, καθότι καὶ τὸ Κρονίδης εἰς τὸ τοῦ Κρό- 25
νου υἱός, καὶ τὰ τούτοις ὅμοια. ὁ αὐτὸς λόγος
καὶπὶ τοῦ δευτέρου προσώπου. ἐπὶ γὰρ τρίτου

γι-

γινωσκόμενα μὲν τὰ ἔθνη παραλήφθήσεται αὐτοῖς τοῖς ὀνόμασι, καθὼς ἔφαμεν, οὐ μέντοι γινωσκόμενα παραγωγὴν ἀναδέξεται ἐξ ὀνόματος τοῦ ἀναιρεῦντος τὰς θέσεις τῶν ὀνομάτων, λέγω τοῦ ἄλλων. τὸ γὰρ ἀλλοδαπὸς ἀποφάσει τὸ οὐχ ἡμεδαπός ἐστιν, οὐχ ὑμεδαπός, οὐκ Ἀθηναίων πολίτης. κατ' οὐδένα λόγον ἄρα τοῖς ἀντωνυμικοῖς συζυγεῖ τὸ ἡμεδαπὸς καὶ ὑμεδαπός, κατὰ δὲ ἀναίρεσιν τῶν προειρημένων ἐθνῶν.

ΤΩΝ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ

ΤΟ ΤΡΙΤΟΝ

Τῶν ἐξαιρέτως παρεπομένων ταῖς ἀντωνυμίαις κατειλεγμένων ἐν τῷ πρὸ τούτου, ἀναγκαίως καὶ περὶ τῶν κοινῇ αὐταῖς παρεπομένων μετὰ τῶν ἄλλων τοῦ λόγου μερῶν πειρασόμεθα διαλαβεῖν, καθὸ ἃ μὲν αἰτία γίνεται ἀκαταλληλότητος, ἃ δὲ ἀδιαφορεῖ, ὡς γε ἔστι, τὸ πρῶτον ἐπινοῆσαι ἐξ αὐτῶν τῶν ἀντωνυμιῶν.

2 Ἐπιταγματικὴν καλοῦσι τὴν αὐτός, καθό, φασίν, ὑποτάσσεται ἅπασι τοῖς ἀντωνυμικοῖς προσώποις. καὶ εἰ μὲν ἐξαιρέτως, σαφὲς ὅτι οὐκ ἀληθεύουσιν· ἰδοὺ γὰρ καὶ ἡ ὅδε,

ὅδ' ἐγὼ χείρων·
κεῖνος μὲν δὴ ὅδ' αὐτὸς ἐγώ, πάτερ·
οὗτος ἐγὼ ταχύτατι.

εἰ δὲ κατὰ τὸ πλέον παρὰ τὰ πολλά, συγκα-

ταθείμην ἐν τῷ λόγῳ· οὐ γὰρ δή γε θαρρήσει τις ἀλόγους τὰς τοιαύτας συντάξεις φάναι, τῶν ἐλλογιμωτάτων ἀνδρῶν χρησαμένων καὶ τοῦ λόγου οὐκ ἐμποδίζοντος, ὡς δείξω. δῆλον οὖν ὡς ἡ κατὰ πολὺ γενομένη σύνταξις ἀπηνέγκατο τὴν ὀνομασίαν, ᾧ λόγῳ καὶ ἄλλα κατὰ τὸ πλέον ἐπεκράτησε.

Διαπορῶ γε μὴν τί δή ποτε αἱ μὲν τοῦ
195 πρώτου καὶ δευτέρου οὐ μετίασιν ἐπὶ τὰ τρίτα πρόσωπα, τὰ γε μὴν τρίτα πρόσωπα μετίασιν ἐπὶ τὰ πρῶτα καὶ δεύτερα, καὶ πάλιν οὐχ ἅπαντα. ἰδοὺ ἡ καὶ ἡ ἔα καὶ αἱ σύζυγοι εἰσὶ καὶ ἁπλαῖ οὖσαι ἐπὶ τὰ πρῶτα ἢ δεύτερα πρόσωπα οὐ μετέρχονται, ἡ δὲ μὴν μεταλαμβανομένη ἐξ αὐτῶν αὐτός,

αὐτὸς ἐκὼν οἱ δῶκα,
αὐτὸς νῦν ἰδὲ πῶμα.

Τὸ δὲ μεῖζον, πρὸς ἁπάντων ὁμολόγηται ὅτι ἡ ἑαυτοῦ καὶ ἑαυτόν καὶ αἱ σύζυγοι ἐκ δύο τριῶν συντεθειμέναι εἰσίν, ἐξ ὧν καὶ αἱ πληθυντικαὶ ἑαυτῶν, ἑαυτούς, αἵ περ κατὰ πρῶτον καὶ δεύτερον παραλαμβάνονται. πῶς οὖν οὐκ ἄλογον τὸ καθ' ἑνικὴν σύνταξιν ἀπαράδεκτον ἐν πληθυντικῇ μεταπτώσει ὑπαράδεκτον γίνεσθαι; οὐ γὰρ φαμὲν ἑαυτὸν ὕβρισα ἢ ἑαυτὸν ὕβρισας, ἑαυτοὺς δὲ ὑβρίσαμεν. Ἐστι γε μὴν συνιδόντι ἐκεῖνο φάναι, μὴ ἄρα αἱ τοιαῦται συντάξεις σολοικισμὸν ὑπα-

γορεύσωσι παρὰ τὴν τῶν προσώπων μεταλλαγήν. εἰ γάρ τί ἐστιν ἐν τρίτῳ, τοῦτο καὶ ἐν πρώτῳ παραλαμβανόμενον ἢ δευτέρῳ ἀκαταλλήλου ποιεῖ λόγον· καὶ ἀνάπαλιν εἴ τί ἐστιν ἐν πρώτῳ καὶ δευτέρῳ, τοῦτο ἐν τρίτῳ παραλαμβανόμενον τὴν αὐτὴν ἀκαταλληλότητα παρέξει, εἰ τῇδέ τις ἀποφαίνοιτο, ἐγὼ γράφει, σὺ γράφεις, ἡμεῖς γράφουσιν, ὑμεῖς γράφουσι. καὶ εἰ τοῦτο ἀληθές, πῶς τὸ ἑαυτούς τρίτον καὶ ἐν τρίτων γενόμενον καταλλη-
196 λον πρεῖ λόγον ἐν τῷ πρώτῳ καὶ δευτέρῳ; τὸ γὰρ δέον ἐστὶν ἑαυτοὺς τύπτουσιν, οὐ μὴν τὸ ἑαυτοὺς τύπτομεν. Ἀλλὰ πάλιν πᾶν ἀκαταλλήλου ἔχει ἐπανόρθωσιν διὰ τοῦ ἀκολούθου σχήματος. εἰ περ ὦν σολοικισμὸς τὸ ἑαυτοὺς ὑβρίζομεν, τί τὸ ἐπανορθοῦν τὸ σχῆμα; φήσει τις τὸ ἡμᾶς ὑβρίζομεν. οὐ φημι ἕνεκα μόνον χρήσεως, ἀλλὰ καὶ ἕνεκα ἀποδείξεως ἧς προεξεθέμην τοῦ μὴ δύνασθαι μετὰ τῶν συζύγων ῥημάτων ἁπλῶς ὑπάρχειν τὰς ἀπωνυμίας, ὅτι μὴ μόνον ἐπὶ τῆς εὐθείας, ἐγὼ ὕβρισα, ἡμεῖς ὑβρίσαμεν· τὸ γὰρ ἐμὲ ὕβρισα εἰς τὸ ἐμαυτόν μεταλαμβάνεται. οὐ δὴ οὖν συστήσεται τὸ ἡμᾶς ὑβρίσαμεν ἢ ἡμῖν ἐλαλήσαμεν.

3 Χρὴ οὖν ἐπιστήσαντας ἐνθένδε τί δή
197 ποτ' ἐστι τὸ πρωῦν τὸ ἀκαταλλήλου, οὐ περαθέσει τρόπων χρησαμένους μάτην, πρὸς τὸ

τινες αὐτὸ μόνον ἐκήρυξαν τοὺς σολοικισμούς, οὐ μὴν ἐδίδαξαν τὸ ποιοῦν, ὅπερ εἴ τις μὴ συνίδοι, εἰς οὐδὲν συντείνουσαν ἕξει τὴν παράθεσιν τῶν τρόπων. Πρὸς οἷς οὐδ' ἀληθεύουσιν οἱ ἐξ αὐτῶν λόγοι. φέρε γὰρ φάναι ὡς γίνεται ἀνταλλαγὴ περὶ τοὺς ἀριθμούς, ὡς τινες ὑπέλαβον·

κούρῳ δὲ κρινθέντε δύω καὶ πεντήκοντα.

οὐ γάρ φασι κατὰ τοῦ πληθυντικοῦ τὸ δυϊκὸν τίθεσθαι, τό γε μὴν πληθυντικὸν κατὰ τοῦ δυϊκοῦ. καὶ σαφὲς ὅτι αἰτίας τινὸς ὑπούσης; οὐδὲ τοῦ τοιούτου διδομένου, ὡς γε ἐν τοῖς ἑξῆς δεδείξεται, ὅτι τὸ κρινθέντε δίκαι καὶ κατὰ τοῦ πεντήκοντα. ἀλλὰ καὶ παρὰ τὰ πρόσωπα,

ἀλλ' αἰεὶ φρεσὶν ἦσιν ἔχων ἀλαθέμεναι οἶζύν·

ἀνταλλαγὴ γάρ, δέον ἡμᾶς. καὶ ἔστι πρὸς τὸ τοιοῦτον ἐγκείμενος λόγος· εἰ γοῦν τὸ ἑαυτοὺς ὑβρίζομεν καὶ ἔτι τὰ τοιαῦτά τις παραδέξεται, δῆλον ὡς καὶ τὸ προκείμενον, ἤ ἐστι τις αἰτία ἢ τὸ τοιοῦτο μὲν παραπέμπεται, προίεται δὲ τὸ ἑαυτοὺς ὑβρίζομεν. ἀλλὰ καὶ παρὰ τὰς πτώσεις, ἵνίκα ἐν ἐκείνῳ τῷ σχήματι ἀπαιτοῦσι γενικήν, ἐν τῷ

οἱ δὲ δύο σκόπελοι·

198 πάλιν γὰρ ἔστι συνιδεῖν καὶ ἐπὶ τούτου, ἢ τί λείπει, ἢ τί τὸ αἴτιόν ἐστι τὸ τὴν γενικὴν ἀπαι-

τοῦν. Παρείσθω τοίνυν ἡ τοιαύτη παράθεσις ὑπὲρ τοῦ μὴ πολὺ ἀφίστασθαι ἡμᾶς τοῦ προκειμένου.

4 Οὐδὲ ἐκεῖνο δέ με λέληθεν, ὡς τινες ἐπιτάραξαν τὴν παρὰ πᾶσι συμφώνως πιστευθεῖσαν δόξαν, ὡς μιᾶς λέξεως κακία ἐστὶν ὁ βαρβαρισμός, ἐπιπλοκῆς δὲ λέξεων ἀκαταλλήλων ὁ σολοικισμός, αὐτοὶ εἰςηγησάμενοι τὸ καὶ ἐν μιᾷ λέξει καταγίνεσθαι σολοικισμόν, εἰ κατὰ θηλείας φαίη τις οὕτος,

ὃς φάσαν ἡ πληθύς,

παραθέμενοι καὶ ἄλλα τῆς αὐτῆς ἐχόμενα εὐηθείας. τὸ πρῶτον, ὅτι οὐδεμία εὐθεῖα συνίσταται δίχα ῥήματος εἰς αὐτοτέλειαν, καὶ ῥήματος τοῦ μὴ ἀπαιτοῦντος ἑτέραν πλαγίαν. ἔστι γὰρ τὸ οὗτος περιπατεῖ αὐτοτελές, οὐμὴν τὸ βλάπτει· λείπει γὰρ τὸ τίνα. ἀλλ' εἰ καὶ οὕτω φαίημεν, τίς σε ἔτυψε; τὸ ἀνθυπαγόμενον οὕτως κοινὸν ἔχει παραλαμβανόμενον τὸ ῥῆμα· τίς καλεῖται Αἴας; οὗτος. οὐκ ἄρα ἀληθὲς τὸ ἐν μιᾷ λέξει σολοικισμὸν γίνεσθαι. καὶ φαίνεται ὅτι ὅσον ἐπ' αὐτῷ ὁ λόγος κατώρθωται, παρὰ δὲ τὴν ἐξ αὐτοῦ γενομένην δεῖξιν τὰ τοῦ γένους ἐνήλλακται. σαφές τι ὡς οὐ-
190 δὲ ἐν νυκτὶ ἐγχωρήσει ὁ καμότερον ἐπινοηθεὶς διὰ τῆς οὕτος ἀντωνυμίας σολοικισμός, καὶ δέον προσθεῖναι τῷ ὅρῳ, ὅτε μὴ ἐν νυκτερινῷ καταστήματι εἴη τὰ τῆς συντάξεως· δῆλα γὰρ

τὰ ὑπ' ὄψιν πίπτοντα τοῦ γένους ἰσθίν. ὅπερ γελοῖον· οἱ γὰρ σολοικισμοὶ ἀκοῇ ὑποπίπτουσιν, ἐλεγχόμενοι ἐκ τῆς κατὰ παράθεσιν τῶν λέξεων συνούσης ἀκαταλληλίας, ὧν μεταλαμβάνουσι καὶ οἱ τεθρυμμένοι τὰς ἁψὰς· οὐ γὰρ ἐλλιπεῖς εἰσὶ τοῦ ἐξιδιοποιουμένου τὴν φωνήν, λέγω τῆς ἀκοῆς. δοθήσεται δὲ καὶ κεῖνο, ὡς παρὰ τὰς προτάξεις ἐναλλασσόμενα ὑπὸ λόγον τὸν τοῦ σολοικισμοῦ πίπτειται· ὡς γὰρ ἐπίδες τὸ τοιοῦτον, καὶ τὸ προειρημένον. τὸ οὖν κατὰ Θηλείας λεγόμενον οὗτός με ἔτυψεν οὐχ ἁμάρτημα τοῦ λόγου· τὸ δέον γὰρ τοῦ ἀκαταλλήλου ἀνεδέξατο. εἰ γοῦν ὑπούσης θηλείας φαίη τις αὕτη με ἔτυψαν, ὁμολόγως σολοικιεῖ διὰ τὸ ἀκαταλληλον τῶν λέξεων, κἂν ἀληθεύῃ τὸ γένος. οὐ γὰρ ἐν τοῖς ὑποκειμένοις τὸ ἀκαταλληλόν ἐστιν ἢ κατάλληλον, ἐν δὲ τῇ συντάξει τῶν λέξεων, αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον, τῶν ὑποκειμένων ἁπάντοτε τῶν αὐτῶν ὄντων. ἔστι γοῦν καὶ οὐδετέρως φάναι τοῦτό με ἔτυψε, καὶ οὐδὲ οὕτω τὰ τοῦ λόγου ἠλόγηται· κατ' οὐδένα γὰρ τρόπον ἐλλιπὴς γενήσεται, ἀναφερόμενον ἐπὶ τὸ γύναιον, καθάπερ ἐκεῖ τό·

νεφέλη δέ μιν ἀμφεβέβηκε
κυανέη, τὸ μὲν οὔ ποτ' ὀρωρεῖ

πρὸς γὰρ τὸ συνώνυμον τοῦ νέφους ἀπήντηκε. καὶ ἔτι ἐπὶ πλήθους,

μάλα δὴ τάδε δώματα καλ' Ὀδυσῆος

κεῖνος ἐν τίς μιν ἀνὴρ ὑπεραπλίσσεται

πρόφρασσ' ἢ συνώμοσεν τοῦ εἵνου παρείλη-

πται ἐπιφέρει γοῦν

γνώσεσθαι δ' ὅτι πολλὰ ἐν αὐτῷ δαῖτα

φίθεινται.

5 Ἦν μέντοι ἐκεῖνο παραπιτδυευόμενον, τὰ ἀεὶ συνηθέστω λέξει ὑποφαίνεσθαί τινα σολοικισμόν; λέγω ἐπὶ τοῦ ἑνδέκατος ἢ ἐπὶ πλέον τοῦ ἐνδεκάτη. οὐ γὰρ ἐκεῖνο ἔστι φάναι, ὅτι ἡ ἑνὸς δέονται γενικὴ παρὰ γὰρ τὰς εὐθείας αἱ συνθέσεις τῶν τοιούτων γίνονται, τρισκαιδέκατος, τεσσαρεσκαιδέκατος. καὶ οὕτω δὲ τὸ ἑνδεκάτη οὐ συνίστατο. Ἐφ' οὗ σχήματος ἔστι φάναι, τὸ μὲν ἁπλοϊκόν, ὡς παρὰ τὸν ἀριθμὸν τὸν ἕνδεκα, εἶτ' ἐκ παραθέσεως ὄντα εἶτα καὶ ἐκ συνθέσεως; παραγωγή τις ἐγίνετο ἡ τοῦ ἑνδέκατος; ὡς ἕβδομος ἑβδόματος, ἀφ' οὗ καὶ τὸ ἑπτακαιδέκατον ἑβδομάτη ἑνδεκάτη. ὅτι δὲ ἐκ παραθέσεως δύο ἐγίνετο παραγωγοι, διὰ πλειόνων ἐδείξαμεν, τὰ αὐτὰ ταυτόσης, παρὰ ποταμὸν μέντοι ὁ δεῖνα παραποταμιος. Ἔστι δὲ καὶ οὕτω φάναι. κἂν παρὰ τὸ δέκατος ἦν ἡ σύνθεσις, τὰ τῆς συνθέσεως ἐν λόγῳ τὴν τοῦ οὐδετέρου σύνθεσιν ἀνεδέχετο. εἴ τι γὰρ παρὰ ἀριθμὸν σύγκειται, τοῦτο ἐκ κανότητος τοῦ γένους παρελαμβάνετο, οἷον οἱ τέσσαρες· αἱ

τέσσαρες. τεσσαρεςκαιδέκατος, οἱ τρεῖς· αἱ τρεῖς· τρειςκαιδέκατος, καὶ οἱ λοιποὶ ἀριθμοί. οὐ δὴ οὖν παρὰ τὸ εἶς ἐδύνατο τὰ τῆς συνθέσεως ἐγγίνεσθαι, ὅτι μὴ κατηγορεῖτο· καὶ τὸ θηλυκόν· οὐδὲ μὴν παρὰ τὸ μία, ὅτι μὴ συγκατηγορεῖτο καὶ τὸ ἄρρενικόν. ἀμφότερα δὲ τὰ γένη συνωθεῖται εἰς τὰ οὐδέτερα· τὸ γὰρ οὗτος καὶ αὕτη εἰς ἓν συνωθεῖται τὸ τοῦτο, καὶ πάλιν ὑποστατόν τί ἐστι. δὸ καὶ κατὰ τοῦτο, κἂν φῶμεν ἐπὶ γυναίου τοῦτο, οὐ σολοικιοῦμεν, ὡς τινες ὑπέλαβον. καὶ περισσὸν εἰς τὸ τοιοῦτο παρατίθεσθαι. ἀναλόγως ἄρα τὸ ἓν παρελήφθη κατὰ τὴν σύνθεσιν, ἵνα μήτε τὸ ἄρρενικὸν ἐξιδιοποιήσηται μήτε τὸ θηλυκόν.

6 Ἔςι γε μήν, ὡς προείπομεν, συνεκτικωτάτη αἰτία τοῦ ἀκαταλλήλου ἥδε. Τῶν μερῶν τοῦ λόγου ἃ μὲν μεταςχηματίζεται εἰς ἀριθμοὺς καὶ πτώσεις, ὡς τὸ ὄνομα καὶ τὰ ἄλλα ὅσα δύναται ἀριθμὸν μετὰ πτώσεως ἐπιδέξασθαι· ἃ δὲ εἰς πρόςωπα καὶ ἀριθμόν, ὡς τὰ ῥήματα καὶ αἱ ἀντωνυμίαι· ἃ δὲ εἰς γένη, ὡς τὰ προκατειλεγμένα ὀνόματα καὶ ὅσα δύναται γένους διάκρισιν ποιήσασθαι τινα· ἃ δὲ οὐδὲ ἓν τοιοῦτον ἐπιδέχεται, ὡς τὰ καθ' ἕνα σχηματισμὸν ἐνφερόμενα, ὡς περ οἱ σύνδεσμοι καὶ αἱ προθέσεις καὶ σχεδὸν ἅπαντα τὰ ἐπιῤῥήματα. τὰ δὴ οὖν προκείμενα μέρη, μεταληφθέντα ἐξ ἰδίων μεταςχηματισμῶν εἰς τὰς

διούσας ἀκολουθίας τῶν προκατειλεγμένων ἀριθμῶν ἢ προσώπων ἢ γενῶν, τῇ τοῦ λόγου συνθέσει ἀναμεμίρισται εἰς ἐπιπλοκὴν τοῦ πρὸς ἃ δύναται φέρεσθαι, εἰ τύχοι πληθυντικὸν πρὸς πληθυντικὸν κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παράπτωσιν, γράφομεν ἡμεῖς, γράφουσιν οἱ ἄνθρωποι. τὰ γὰρ ἐν διαβάσει τοῦ προσώπου οὐ πάντως ἐξαιτήσεται τὸν αὐτὸν ἀριθμόν· οἷόν τε γάρ ἐστι φάναι τύπτουσι τὸν ἄνθρωπον ἢ πάλιν τύπτουσι τοὺς ἀνθρώπους. Ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν κατὰ γένος συμπαραλαμβανομένων καὶ ἐπὶ τῶν κατὰ πτῶσιν, ἡμῶν αὐτῶν. ἀκούομεν· πάλιν γὰρ τὸ ἐν διαβάσει ἀδιαφορεῖ καὶ κατὰ πτῶσιν καὶ κατὰ ἀριθμόν, ἡμῶν αὐτὸς ἀκούει, ἡμῶν αὐτοὶ ἀκούουσιν. ὅπερ πάλιν εἰ συνέλθοι κατὰ τὴν αὐτὴν πτῶσιν, ὑποδραμεῖται εἰς τὸ αὐτὸ πρόσωπον διὰ τὸ κατάλληλον τῆς πτώσεως, εἰ μὴ συνδεσμικὴ παρέμπτωσις ἀποσπάσειε τὸ πρόσωπον, ὡς τὸ ἡμῶν καὶ αὐτῶν ἀκούουσιν. Ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν γενῶν. φήσομεν γὰρ οὗτοι οἱ ἄνδρες, ἢ καὶ κατὰ πλαγίαν πτῶσιν τούτους τοὺς
203 ἄνδρας· πάλιν γὰρ τὸ ἐν μεταβάσει τοῦ προσώπου ἀδιαφορήσει καὶ κατὰ γένος καὶ κατὰ ἀριθμόν, τούτους γυνὴ ὕβρισε. περισσὸν εἰς τὸ τοιοῦτον παραθέσει χρῆσθαι· προφανὲς γὰρ τὸ λεγόμενον. Εἴπερ οὖν, ὡς προύπομεν,

μὴ ἐπισυμβαίη τινὶ λέξει τὸ τὴν διάκρισιν δυνάμενον προφανῶς ποιήσασθαι, ἀδιαφορεῖται τὸ ἐπιπλέκεσθαι ἅπασι ταῖς κατειλεγμέναις, λέγω γένεσι διαφόροις, πτώσεσιν, ἀριθμοῖς, προσώποις, ἄλλοις τοῖς δυναμένοις τοιοῦτό τι ἀναδέξασθαι· οὐ γὰρ δή γε ἔλεγχον ἔχει τὸν ἴδιον μετασχηματισμόν. ἔστω γὰρ σύνταξίς τις τοῦ καλῶς ἢ τῶν ὁμοίων ἐπὶ παντὸς προσώπου, ἐπὶ παντὸς ἀριθμοῦ, ὅτε φαμὲν καλῶς ἔγραψα ἢ καλῶς γράφω ἢ καλῶς γράφετε, καὶ ἐπὶ τῶν μετασχηματιζομένων χράνων, λέγω τοῦ ἔγραψα ἢ γράψω. ἡ δὴ τοιαύτη σύνταξις πρόδηλον ὅτι καταλλήλως· ἡ γὰρ τοῦ ἐπιῤῥήματος σύνοδος οὐ δεκτικὴ οὖσα τῶν ἀριθμῶν ἢ τῶν προσώπων ἢ τῶν πτώσεων καὶ ἔτι τῶν χρόνων ὧν τὸ ῥῆμα παραδέχεται, ἀκώλυτον ἔσχε τὴν ἐπιπλοκήν, οὐκ ἐλεγχόμενον ἐκ τοῦ ὁμοειδοῦς. οὐ μὴν ἔτι ἐπὶ τοῦ καλός ταὐτὸν ἔστιν εὑρίσθαι· προσώπου γὰρ τυγχάνει τρίτου ἀριθμοῦ τε τοῦ ἑνικοῦ, καὶ ἔνθεν προσίεται αὐτὸ ἑνικὸν τὸ γράφει, καλὸς γράφει, καλὸς περιπατεῖ. καὶπὶ πάλιν τὸ καλός οὐ παρέμπτωσιν χρόνου σημαί-
204 νει, ἀδιαφορεῖ τὸ ἐν διαφόροις χρόνοις συντάσσεσθαι. Ἔνθεν πάλιν τὰ τετμημένα τῶν ἐπιῤῥημάτων εἰς διαφόρους χρόνους τοῖς μὲν διαφόροις προσώποις καὶ ἔτι ἀριθμοῖς συντάσσεται, οὐ μὴν τοῖς τοῦ μέλλοντος ἢ τοῦ ἑνεστῶτος, οὐ μὴν πάλιν τὰ ἐν παρατάσει τοῦ ὅλου χρόνου

παραλαμβανόμενα, λέγω ἐπὶ τοῦ νῦν καὶ τῶν ὁμοίων. ὁμοίως δὲ καὶ ὅσα σημαινόμενον ἐγκλίσεως ἐπιδέχεται, λέγω τὸ εἴθε ἢ ἄγε· ἡ γὰρ προστακτικὴ ἔγκλισις ἀνεπίπλοκος τῇ εὐκτικῇ, καὶ οὕτω τὸ εἴθε ἀφίσταται τῶν προστακτικῶν καὶ τὸ ἄγε τῶν εὐκτικῶν. πάλιν οὖν ἀμοιρήσαντα τὰ ἄλλα ἐπιρρήματα τῆς τοιαύτης σημασίας ἀπώλυτον ἴσχον ἐν ἀπάσαις ταῖς ἐγκλίσεσι σύνταξιν τὴν τοιαύτην, ὡς ἀκριβέστερον ἐν τῷ περὶ ἐπιρρημάτων ἐξετάσομεν· περὶ ἧς ἔτι καὶ κατὰ τὸ δέον πάλιν εἰρήσεται.

Ἔστι καὶ ἐκ συνδέσμων τὸ τοιοῦτο παραστῆσαι, ὡς εἰς οὐδὲν ἀναμεριζόμενοι τῶν προκατειλεγμένων ἀδιαφοροῦσι τὰς συνδέσεις ποιεῖσθαι πρὸς γένη διάφορα ἢ πτώσεις ἢ διακρίσεις προσώπων. εἰ γοῦν τις πάλιν μερικὴ γένοιτο ἐπ' αὐτῶν διαφορά, ἀπολειφθεὶς ἂν πάλιν τῆς προκειμένης συντάξεως διὰ τὸ ἐγκείμενον τοῦ συνδέσμου. ὑπὲρ δὲ τοῦ μὴ περὶ συνδέσμων ἄρτι λέγεσθαι αὐτὸ μόνον ἐνὶ ὑποδείγματι χρησόμεθα. Ὁ δὴ ἂν σύνδεσμος αὐτὰ μόνον ἐκ τηρήσεως εἴρηται ὡς παρωχημένοις συντάσσεται, ἐξηρημένου πάλιν τοῦ παρακειμένου. ἐφ' ἧς συντάξεως εἰ ἔροιτό τις, ἐν τῷ γράψω ἂν παρά τί τὸ ἀκατάλληλον ἐγένετο, οὐκ ἔστι φάναι ἢ μόνον ἐκ τῆς ἀντιλήψεως, ὃ ἀκατάλληλόν ἐστιν· οὔτε γὰρ ἀριθμοῦ ἀνθυπαλλαγὴ οὔτε ἄλλου του, ὃ δύναται διαλέγξαι

τὸ ῥῆμα μὴ συμπληθυνόμενον ἢ συγχρονούμενον ἢ συνδιατιθέμενον. ἦν δὲ τὸ αἴτιον τοῦτο· τὰ γεγονότα τῶν πραγμάτων ὁ σύνδεσμος ἀναιρεῖν θέλει, περιστάνων αὐτὰ εἰς τὸ δύνασθαι, ἔνθεν καὶ δυνητικὸς εἴρηται. τὸ μὲν γὰρ ἔγραψα ἢ τὸ ἔγραφον ἢ τὸ ἐγεγράφειν ἢ ἀπὸ μέρους γεγονότα ἐστὶν ἢ καὶ ἐκπαλαι γεγονότα· ἔνθεν προσέρχεται τοῖς δυναμένοις τὴν ὕλην αὐτοῦ παραδέξασθαι, ἔγραφον ἄν, ἔγραψα ἄν, ἐγεγράφειν ἄν, οὐ μὴν τῷ γράφω ἢ γράψω· οὐ γὰρ παρῴχηται, ἵν' ἐγχωρήσῃ καὶ ἡ ἐκ τοῦ συνδέσμου ἀναίρεσις μὲν τοῦ γεγονότος, ἐπαγγελία δὲ τοῦ ἐσομένου. καὶ ἐντεῦθεν δὲ πειθόμεθα ὅτι οὐ παρῳχημένου συντέλειαν σημαίνει ὁ παρακείμενος, τήν γε μὴν ἑστῶσαν, ὅθεν οὐδὲν δυνησόμενον γενέσθαι παρεδέξατο καὶ διὰ τοῦτο ἀπροσδεὴς τοῦ ἂν συνδέσμου ἐγεγόνει, ἐν τῇ συνδεσμικῇ συντάξει ἐντελέστερον τὰ τοιαῦτα δέδεικται. ἀνιτέον μέντοι ἐπὶ τὸ προκείμενον.

Αἱ δὴ οὖν λέξεις, ὡς προείπομεν, ἀναμε-
206 μερισμέναι κατὰ τὰς ἰδίας θέσεις, τὰς ὁπαξ δήποτε παρεμπιπτούσας εἰς οὐκ ἐπιβάλλουσαν θέσιν διελέγχουσι διὰ τῆς ἐξ αὐτῶν ἀπολουθίας. παρὸν πιστώσασθαι καὶ δι' ὧν ἐπαρήσαμεν ἐν τοῖς προκειμένοις καὶ δι' ὧν παρελθόμεθα. τὸ ἐμοὶ ἐπὶ τρίτου οὐ τίθεται· ὑπὸ γὰρ συζύγου τοῦ οἱ διελέγχεται. καὶ σαφὲς ὅτι

καὶ τὸ οἵ οὐκ ἐπὶ πρώτου διὰ τὸν αὐτὸν λόγον, ὡς οὐδὲ τὸ γράφω ἀντὶ τοῦ γράφει οὐδὲ μὴν τὸ γράφει ἀντὶ τοῦ γράφω. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν δευτέρων προσώπων. πῶς οὖν ἡ αὐτὸς τρίτου καθεστῶσα σύνταξιν τὴν κατὰ τὸ πρῶτον καὶ δεύτερον ποιεῖται; ἕνεκα τοῦ μὴ ἔχειν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν, ὃ συνελέγξει τὸ ἀλλότριον τοῦ προσώπου. ἔνθεν γὰρ οἶμαι ἐρρύηκέναι καὶ τὸ ἀκόλουθον πρὸς τὰ ἀναμεμερισθέντα μόρια ἐν τῇ δεούσῃ ἀκολουθίᾳ. καὶ σαφὲς ὅτι τὸ μὴ γενόμενον ἐν προσώπου ἀκολουθίᾳ οὐδὲ παρὰ τὸ ἀκόλουθον τῶν προσώπων ἁμαρτηθήσεται, γενόμενόν γε μὴν ἐν γένους ἀκολουθίᾳ καὶ πτώσεως καὶ ἀριθμοῦ οὐκέτι συνοισθήσεται παρὰ τὸ δέον τῶν προκειμένων· ἐμὲ γὰρ αὐτόν καὶ ἡμᾶς αὐτούς. σαφὲς δὲ πάλιν καὶ ἐκ τῶν ἄλλων ἀντωνυμιῶν, αἳ γένος οὐ διακρίνασαι ἀκόλουθον ἔχουσι τὴν ἐν τοῖς τρισὶ γένεσιν ὑπαγωγήν· φαμὲν γοῦν σὺ αὐτός ἢ σὺ αὐτή καὶ ἔτι ἐμοὶ αὐτῷ καὶ ἐμοὶ αὐτῇ, καὶ οὐ κακία τὸ τοιοῦτο,
207 ὅταν μὴ ἐνεχώρει τὸ δυναμένου ἐλέγξαι τὴν κακίαν. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῆς οὗτος καὶ ὅδε· πάλιν γὰρ ἀπόλυτον τὸ ὅδ' ἐγώ καὶ οὗτος ἐγώ, καθὼς προείπομεν. Λύεται δὲ καὶ εἰκὸς τὸ ἄπορον, ὡς τὸ ἑαυτούς καὶ ἐπὶ πρώτου συνέντευξιν· ὃ περ ἦν ἂν ἐν κακίᾳ, εἰ διελέγχετο ὑπὸ τοῦ ἐμαυτούς ὡς παρὰ τὸ πρόσωπον ἡμαρ-

τημένον. ἀνεξέλεγκτον οὖν καθεστὸς ἀδιστάκτως τὴν σύνταξιν κατὰ τῶν προσώπων ἐποιήσατο.

Καὶπὶ ῥημάτων δὲ ὁ αὐτὸς λόγος. πᾶσαι γοῦν αἱ ἐγκλίσεις, μεριθεῖσαι εἰς πρόσωπα καὶ ἀριθμούς, τὸ ἀναφάλληλον συνελέγχουσι διὰ τῶν ἀριθμῶν καὶ τῶν προσώπων. ἤ γε μὴν ἀπαρέμφατος τούτων ἀμοιρήσασα ἐπιτρέχει καὶ ἐπὶ πάντα τὰ πρόσωπα καὶ ἅπαντας τοὺς ἀριθμούς, γράφειν ἐμέ, γράφειν ἡμᾶς, γράφειν σέ, γράφειν ὑμᾶς. καὶπὶ πάλιν οὐκ ἀμοιρεῖ διαθέσεως ἢ χρόνων, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀναπάλουθον ἐπιδεικνυται. φυσικώτερον δέ πως καὶ ψυχικῆς διαθέσεως ἡ ἀπαρέμφατος ἔγκλισις ἀμοιρήσασα οὐκ ἐμποδίζεται καὶ ἀντὶ πασῶν ἐγκλίσεων παραλαμβάνεσθαι, προστιθεμένου τοῦ ἰδιώματος τῆς ἐγκλίσεως, καὶ πάλιν πᾶσαν ἔγκλισιν εἰς ταύτην ὑποστρέφειν. τὸ γὰρ γράφε δύναται ἴσον εἶναι τῷ γράφειν σοι προστάσσω, ἀναγκαίως καὶ τοῦ προστάσσειν ἐχομένου καὶ τοῦ ἀντιπαρεμπτοῦ· τούτων γὰρ ἀμοίρου τὸ ἀπαρέμφατον· περιπατοίης· εὐχομαί σε περιπατεῖν. γράφεις· ὁρίζομαί σε γράφειν. πρόδηλος καὶ ἡ ἐκ τούτων μετάληψις, γράφοι Διονύσιος· κἂν γράφειν Διονύσιον, γραφέτω Διονύσιος· προσέταξα γράφειν Διονύσιον. διὰ τί μέντοι ἀσυνούσαι πτώσεις τοῖς ῥήμασι γίνονται, ἐμβαίσομεν ἐν τῷ περὶ ῥημάτων, ἐν ᾧ καὶ

διαληφόμεθα περὶ τῆς παρεπομένης καθόλου συντάξεως τῶν ἀπαρεμφάτων.

Παρὲν καὶ τῶν μετοχῶν αὐτὸ πιστώσασθαι, αἷς προσεῖδωσι μὲν ἡ ἐκ τῶν ῥημάτων μετάληψις γένος καὶ πτῶσιν καὶ τὸν ἐν τούτοις ἀριθμόν, ἀφαιρεῖται δ' αὕτη προσώπου διάκρισιν καὶ ψυχικὴν ἔννοιαν. καὶ ἕνεκα τούτου παρὰ τὰ ἀφορισθέντα οὐχ ἁμαρτάνομεν, ἐν μὲν προσώποις γράψας ἀνέστην, γράψας ἀνέστης, γράψας ἀνέστη, ἐν δὲ ἐγκλίσεσι γράψας ἀναστείην, γράψας ἀνάστηθι τό γε μὴν ἐμμέσπασται λέγω διάθεσιν ἢ χρόνων διαφοράν, τῷ ἀκαταλλήλῳ λόγῳ ὑποπίπτει, εἰ παρὰ τὸ δέον συνταγείη.

Ὁμόλογον δ' ὅτι καὶ τὸ συνεμπεσόντα ἢ κατὰ γένος ἢ πτῶσιν ἢ πρόσωπον ἢ τι τῶν δυναμένων τὴν ταυτότητα ἀπενεγκασθαι κατὰ φωνὴν ἀποστήσεται τῆς τοῦ ἀκαταλλήλου καλῆς. ἔφθ' ὅτε γὰρ ἐν οὐ δεούσῃ συντάξει καταγινόμενα μέτεισιν ἐφ' ἑτέραν σύνταξιν ἐν λόγῳ δυναμένην παραλαμβάνεσθαι διὰ τὸ συγκεχυμένον τῆς φωνῆς. ἔστω γὰρ τὸ σαφὲς ἢ πλυτὸς ἢ τι τῶν δυναμένων ὑπὸ τριγένειαν πίπτειν, ἔστω δὲ καὶ τὸ θεὸς ἢ τι τῶν δυναμένων κατὰ κοινότητα μέτειν ἀκούεσθαι. ἐφ' ᾧ τῆς συντάξεως τὸ μὲν θεὸς, καὶ ἐπὶ θηλυκοῦ πέσοι, ἀνεπιδείκτως κατὰ γένος ἐστίν, οὗ γε μὴν

μὴν τὸ πλυτός ἢ ἄγριος ταὐτὸν πείσεται. καὶ ἔνθεν γνωρίζεται τὸ

κλυτὸς Ἱπποδάμεια

καὶ

ἄγριον ἄτην

ἐν ὑπαλλαγῇ γένους καθεστῶτα. Διὸ καὶ τὸ παρὰ Ἀθηναίοις μὰ τὼ θεώ οὐκ ἐν τῷ θεῷ τὸ σχῆμα ἐπεδείξατο, ἐν δὲ τῷ συνόντι ἄρθρῳ, ὃ οὐ κοινωνοῦν τῷ θηλυκῷ ἐδείκνυεν ὡς καὶ τὸ θεός νῦν ἀρρενικόν ἐστι· δῆλον γὰρ ὅτι, εἰ ἀφαιρεθείη τὸ ἄρθρον, καὶ τὰ τοῦ σχήματος ἀποστήσεται. οὐ γὰρ ὅμοιόν ἐστι τῷ

καλυψαμένω χρόα καλόν

οὐδὲ τῷ

οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ,

εἴ γε τὰ τοιαῦτα δι' αὐτῶν ἐπεδείξατο τὰ σχήματα, τὸ δὲ προκείμενον διὰ τῆς τοῦ ἄρθρου παραθέσεως. Προφανὴς ὁ λόγος ἐπὶ ἁπάντων τῶν γενῶν.

Εἰ δέ τις ἐνδεέστερον τὴν τούτων διάκρισιν γινώσκοι, τὸ γράφω καὶ ἔγραφον ὁμόλογον ὅτι χρονικῶς διαφέρει, καὶ οὐχ οἷόν τε φάναι ἐχθὲς γράφω, ἐπί γε μὴν παρατατικοῦ ἐχθὲς ἔγραφον. ὁμόλογον δὲ κἀκεῖνό ἐστιν, ὡς τοῦ γράφω ἡ μετοχὴ γράφων ἐστί, καὶ οὐχ οἷόν τε ἦν φάναι ἐχθὲς γράφων, ὅτι μηδὲ ἐχθὲς γράφω. ἀλλ' οὖν γε παρεδέξατο ἡ μετοχὴ τὸ

ἐπίῤῥημα, καθὸ συνέμπτωσιν ἐπεδέχετο τὴν τοῦ παρατατικοῦ· φαμὲν γοῦν οὕτως, ἔγραφον καὶ ἠνιώμην, ἐφ' ἧς συντάξεως ἡ μετάληψις γενήσεται γράφων ἠνιώμην. Ὁ αὐτὸς λόγος καὶπὶ τῶν ἀπαρεμφάτων. πάλιν γὰρ τὸ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ κατὰ τὴν αὐτὴν φωνήν, ἐν τῇ προκειμένῃ συντάξει τῶν ἐπιῤῥημάτων κατάλληλον ἀποτελεῖ λόγον· οἷόν τε γὰρ φάναι συνέβη ἐχθὲς γράφειν Ἀπολλώνιον καὶ συνέβη σήμερον γράφειν. οὔ γε μὴν ἐπὶ τῶν ἕνα χρόνον ὑπαγορευόντων τὸ τοιοῦτον ἂν εὕροις, λέγω ἐπὶ τοῦ γράψειν, γράψειν ἐχθές· ἐπί γε μὴν πάλιν τοῦ ἀσυνεμπτώτου, λέγω τοῦ γράψαι, συνέβη ἐχθὲς γράψαι Ἀπολλώνιον.

Ἔστι καὶ ἐπὶ διαθέσεως τὸ τοιοῦτον ἐπιδεῖξαι. τὰ γὰρ καλούμενα μεσότητος σχήματα συνέμπτωσιν ἀνεδέξατο ἐνεργητικῆς καὶ παθητικῆς διαθέσεως, ὡς γε ἀκριβέστερον ἐπιδείξομεν ἐν τῇ δευούσῃ συντάξει τῶν ῥημάτων, καὶ ἔνθεν οὐ παρὰ τὰς διαθέσεις ἁμαρτάνεται. τὸ γὰρ ἐλουσάμην, ἐποιησάμην καὶ ἐτριψάμην καὶ τὰ τούτοις ὅμοια ἔχει ἐκδηλοτάτην τὴν σύνταξιν ὁτὲ μὲν ἐνεργητικήν, ὁτὲ δὲ παθητικήν, εἴ γε τὸ ἔτριψα τοῦ ἐτριψάμην διαφέρει καὶ τὸ ἔλουσα τοῦ ἐλουσάμην, παράκειται δὲ τὸ ἐποίησα τῷ ἐποιησάμην καὶ ἔτι τὸ προῆκα

τῷ προηκάμην. οἵ γε μὴν ἀπειρότερον περὶ τὰς τούτων διαφορὰς καταγινόμενοι οἴονται ἔσθ' ὅτε παθητικὰς διαθέσεις ἀντὶ ἐνεργητικῶν παραλαμβάνεσθαι, οὐ μικρὸν ἁμάρτημα προσάπτον-
211 τες τοῖς λόγοις. τὸ γὰρ ἀντὶ ἐνεργητικοῦ παθητικῷ χρῆσθαι λόγου ἐστὶ τοῦ ἀκαταλλήλου· οὐκ ἂν τις τὸ φύσει ἐνεργητικὸν ἢ τὸ φύσει παθητικὸν εὕροι ἂν ἐν ὑπαλλαγῇ τῶν διαθέσεων, λέγω τὸ ἐποίησα ἀντὶ τοῦ ἐποιήθην ἢ τὸ ἐποιήθην ἀντὶ τοῦ ἐποίησα. ὁμόλογον οὖν τὸ

ἀμφοτέρω κεκοπώς

ἢ

πεπληγὼς ἀγορῆθεν

ἢ

ῥάβδῳ πεπληγυῖα

ἢ

ὅτι ῥα θνήσκοντας ὁρᾶτο,

τὰ τούτοις ὅμοια, ὡς διὰ τὸν προειρημένον λόγον τῆς μεσότητος οὐκ ἀνθυπήλλακται κατὰ τὴν διάθεσιν, κατὰ δὲ τὸν δέοντα λόγον τῆς συντάξεως ἐπ' ἀμφοτέρας τὰς διαθέσεις ἤφθασαν.

Ἔστι καὶ ἐπὶ συνεμπτώσεως προσώπων ταὐτὸν ἐπιδείξαι. τὸ γὰρ νικῶ πρώτου ὂν προσώπου οὐ μετελεύσεται ἐπὶ δεύτερον, καθὸ ἔχει δεύτερον τὸ νικᾷς· ἀλλ' ἐπεὶ πάλιν προστακτική τις προφορὰ ἐν δευτέρῳ προσώπῳ ἀναμένει τὴν φωνήν, κἂν ἐπὶ δευτέρου τιθῆται,

καταλληλότητα ἀναδέχεται, ὡς ἔφαμεν, γενόμενον προστακτικόν. μέτεισιν ὁ λόγος καὶ μέχρι τοῦ τρίτου, ὃ δύναται περιγράφεσθαι τῆς συνεμπτώσεως διὰ τὴν προσιοῦσαν τοῦ ῑ γραφήν· ὅμως γοῦν ἀκουόμενον συνεμπίπτει τῇ πρὸς τὸ πρῶτον καὶ δεύτερον προφορᾷ, καὶ ἔστιν ἐν τῷ δέοντι λόγῳ, ἐὰν ἡ ἑπακολουθοῦσα αὐτῷ ἔγκλισις συνῇ, λέγω ἡ εὐκτική, ὡς ἔχει τὸ παρ' Ἀλκμᾶνι

νικῷ δ' ὁ καρτέρων,

καὶ ἔτι ἐν τῷ Ὁμηρικῷ

τρυπῷ δόρυ νηΐον ἀνήρ.

212 σαφὲς γὰρ ὅτι ἐν ὁριστικῇ ἐγκλίσει ἀκατάλληλόν ἐστιν, ἐν δὲ τῇ εὐκτικῇ κατάλληλον, ὥς γε καὶ ἐν τοῖς προκειμένοις τὸ μὲν νικῶ ἐγὼ πρὸς τὸ νικῶ σύ. ὁριστικὸν γὰρ ὂν ἀκατάλληλόν ἐστι, χρὴ γὰρ νικᾷς σύ, προστακτικὸν δὲ κατάλληλον. Ἀπόχρη τὸ παράδειγμα εἰς ἀφορμὴν τῶν παραπλησίων τοῖς ἀγελλιπέστερον κεκλικόσι τὰ ῥήματα.

Ἔστι καὶ ἐξ ἀριθμοῦ τοῦ ἐν ὀνόμασι ταὐτὸν ἐπιδείξαι. τὸ γὰρ φίλων ἢ τι τῶν τοιούτων, γενικῆς ὂν πληθυντικῆς τριγενείας τε τῆς ὑπούσης, σύνταξιν ἀπαιτήσει κατὰ τὴν ταυτότητα τοῦ προσώπου γενικῆς πληθυντικῆς, οὐκ ἐν γένει δυναμένην ἀκατάλληλον εἶναι διὰ τὸ συγκεχυμένον τοῦ γένους — οἷόν τε γὰρ φάναι φίλων περιπατούντων καὶ φίλων περιπατουσῶν —

ἓν γε μὴν πτώσει ἢ ἀριθμῷ, εἰ φαίη τις φίλων περιπατοῦντας ἢ περιπατοῦντα· οὐ μὴν ἐν τῷ Φίλων περιπατῶν ἢ περιπατεῖ, ἐπεὶ πάλιν εὐθεῖα γενικῇ συνεμπέπτωκε. πάλιν γὰρ προφανὴς ὁ λόγος ἐπὶ τῶν ὁμοίων.

Ἀλλὰ καὶ ἐπὶ ῥημάτων. τὸ γὰρ ἔλεγον καὶ τὰ ὅμοια ἐνικά ἐστι πρώτου προσώπου, ὅμοια ὄντα τῷ ἔγραψα, ἔλεξα. ἐφ' ὧν εἴ τις φαίη ἔλεξα ἐκεῖνοι, ἀκατάλληλον λόγον παραστήσει καὶ ἕνεκα τοῦ προσώπου καὶ ἕνεκα τοῦ
213 ἀριθμοῦ, οὐ μὴν ἐν τῷ ἔλεγον ἐκεῖνοι· πάλιν γὰρ ἡ συνέμπτωσις ἡ πρὸς τὸ τρίτον πληθυντικὸν τὸ ἀκατάλληλον παρήτηται, καθὸ δέουσα σύνταξις γέγονεν ἡ πρὸς τὸ πληθυντικόν. Ὑπεξηρήσθω τὰ Δωρικά· ἡ γὰρ παρ' αὐτοῖς καταβιβαζομένη ὀξεῖα ἐπὶ πληθυντικῶν ἀφίστησι τὴν πρὸς τὸ ἐνικὸν συνέμπτωσιν.

Ἔστι καὶ κατὰ τὰς πτώσεις τὸ τοιοῦτο παραστῆσαι. τὰ γὰρ ἀναμερισθέντα εἰς πέντε πτώσεις τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων ἐμφανίζει, ἃς παραδεχόμεθα ἢ κατὰ τὸν τῶν σχημάτων λόγον, ἐθιμώτερον διαλέκτου τὸ τοιοῦτον ἐνδειξαμένης, ἢ ἀπαραδέκτους ποιούμεθα κατὰ τὸν τοῦ ἀκαταλλήλου λόγον. οὐχ ὑποπίπτουσα γὰρ ἀρχαϊκῇ χρήσει, ἀπειράκις κατὰ τὸ αὐτὸ παρειλημμένη, τὸ

ἠέλιός θ' ὃς πάντ' ἐφορᾷς,
δὸς φίλος,

ὦ φίλτατ' Αἴας·

ἄπειρα τὰ τούτοις ὅμοια τὸ Ἀττικὸν σχῆμα παραστήσει, καθότι, ὡς ἔφαμεν, ἡ κλητικὴ ἕτερον τέλος ἀπήτει. ἢ ἀντεστραμμένως, ὅτε ἡ κλητικὴ ἀντ' εὐθειῶν παραλαμβάνεται κατὰ Μακεδονικὸν ἔθος ἢ Θεσσαλικόν, ὡς οἱ πρὸ ἡμῶν τὸ τοιοῦτον ἐπιστώσαντο,

αὐτὰρ ὁ αὖτε Θυέστ' Ἀγαμέμνονι,

συνελέγχοντας καὶ τοῦ ἄρθρου τὴν παράλλαγὴν τῆς πτώσεως. Ἀλλ' ὁπηνίκα ἡ κλητικὴ καὶ ἡ εὐθεῖα συνεμπίπτει, εὐθέως καὶ τὰ προκείμενα τῶν σχημάτων ἀφίσταται· οὐδετέρα γὰρ τῶν πτώσεων εἰς ἔλεγχον τοῦ σχήματος δύναται παραλαμβάνεσθαι, οὔθ' ὅτι ἡ κλητικὴ ἀντὶ εὐθείας, οὔθ' ὅτι ἡ εὐθεῖα ἀντὶ κλητικῆς.

8 214 Καὶ δῆλον ὅτι διὰ τὴν τοιαύτην συνέμπτωσιν Τρύφων ἐν τῷ περὶ προσώπων αἴτιος ἀφορμῆς ἐγένετο τοῖς ἐθέλουσι πρὸς αὐτὸν ἀντιλέγειν, οὐ παραδεξάμενος τὴν συνέμπτωσιν τῆς εὐθείας καὶ τῆς κλητικῆς ἐπὶ τῆς σύ ἀντωνυμίας. φησὶ γὰρ μόνης εἶναι κλητικῆς διὰ σύνταξιν τὴν πρὸς τὸ δεύτερον πρόσωπον τῶν ῥημάτων· ὡς γάρ φαμεν Ἀρίσταρχε γράφε καὶ ἔτι ἐπὶ ὁριστικῆς προφορᾶς Ἀρίσταρχε ἀναγινώσκεις ἢ καὶ κατ' ἐπερώτησιν, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ σὺ γράφε ἢ σὺ γράφεις τὴν κλητικὴν ὁμολογεῖ. κἀκεῖνο δὲ παρατίθεται,

ὡς ἡ μὲν εὐθεῖα ἐν τρίτῳ προσώπῳ νοεῖται, ἡ γε μὴν κλητικὴ ἐν δευτέρῳ οὗ ἐστὶ καὶ ἡ σύ· καὶ δῆλον ὅτι κατὰ τὸν λόγον τῆς κλητικῆς. πιστοῦταί τε πρὸς τοὺς ζητήσαντας πῶς ἂν συσταίη κλητικὴ εὐθείας μὴ οὔσης, τὸ καὶ εὐθείας γε μὴν οὔσης μὴ ὑπάρχειν κλητικὴν ἐπὶ τῆς ἐκεῖνος καὶ ἐπὶ τῆς αὐτός καὶ ἐπὶ τῶν οὐ δυναμένων κλητικὴν ἐπιδέξασθαι. Τὴν πρὸς αὐτὸν ἀντίρρησιν γενομένην ἐπιτομώτερον ἐκθησόμεθα, ἐκεῖνο ἔτι προστιθέντες, ὡς μᾶλλον παρακινδυνεύεται ἡ σύ ἀντωνυμία κατὰ τὴν τῆς κλητικῆς σύνταξιν ὡς οὐ δεόντως παρειλημμένη ἢ περ κατὰ τὴν τῆς εὐθείας. ἔχει δὲ τὰ τοῦ λόγου οὕτως. τὸ πρῶτον, ὅτι μάτην ἡ ἐν
215 τοῖς ὀνόμασιν εὐθεῖα παραβάλλεται τῇ τῶν ἀντωνυμιῶν· τοῦτο γὰρ ἐξαίρετον ἔσχεν ἡ ἀντωνυμία, τὸ καὶ ἐν πρώτῳ καὶ ἐν δευτέρῳ προσώπῳ ἐν εὐθείᾳ παραλαμβάνεσθαι, οὐ δυναμένων τῶν ὀνομάτων τὸ τοιοῦτον ἀναδέξασθαι, καθὼς παρεστήσαμεν. ἀλλ' εἰ καθὸ δεύτερον πρόσωπον, διὰ τοῦτο κλητική, οὐδὲν κωλύει καὶ τὰς ὑπολοίπους τῶν πλαγίων κατὰ δεύτερον πρόσωπον κλητικὰς εἶναι· καθά περ οὖν ἐκεῖναι ἀντ' ὀνομάτων ἐν πλαγίᾳ πτώσει κεκλιμένων παρελήφθησαν, οὕτω καὶ ἡ σύ ἀντ' εὐθείας. Εἰ τὸ σοὶ ὄντι ἀγαθῷ καὶ σὲ ὄντα ἀγαθόν τῶν αὐτῶν πτώσεων, δῆλον ὅτι καὶ τὸ σὺ ὢν ἀγαθός. Εἰ τὰ ῥήματα μιᾶς

συντάξεως ἔχεται καὶ τὸ ἐγώ εἰμι ὀρθῆς καὶ τὸ ἐκεῖνός ἐστιν ὀρθῆς, δῆλον ὅτι καὶ τὸ σὺ εἶ τῆς αὐτῆς πτώσεως. Εἰ τὸ εἶ οὐδέποτε κλητικῇ συντάσσεται, εὐθείᾳ δέ, Ἀρίσταρχός εἶ, γραμματικὸς εἶ, οὐ μὴν Ἀρίσταρχε εἶ οὐδὲ γραμματικὲ εἶ, πῶς οὐ δοθήσεται ὅτι τὸ σὺ εἶ ἐν εὐθείᾳ συντάξει ἐστίν; οὐδὲ γὰρ ἐκεῖνο ἀληθές ἐστιν, ὡς ἀπάντοτε αἱ εὐθεῖαι τῶν ὀνομάτων ἐν τρίτοις καταγίνονται, καθὼς ἐπεδείξαμεν ὅτι τὰ ὑπαρκτικὰ τῶν ῥημάτων τὰς εὐθείας συγκλείσει εἰς τὸ πρῶτον καὶ δεύτερον πρόσωπον. Εἴ περ τὰ πρῶτα πρόσωπα πληθυντικὰ ὄντα σύλληψιν ἀναδέχεται δευτέρου καὶ τρίτου τῶν κατὰ τὴν αὐτὴν πτῶσιν,
216 ἡνίκα φαμὲν κατὰ μὲν μερισμὸν ἐμοὶ καὶ σοὶ καὶ Διονυσίῳ ἐλάλησε Τρύφων, κατὰ δὲ σύλληψιν ἡμῖν ἐλάλησε Τρύφων καὶ ἐπὶ τῶν λοιπῶν, πῶς οὐκ ἂν δοθείη τὸ ἐγὼ καὶ σὺ καὶ Τρύφων ἐν ταῖς αὐταῖς πτώσεσι καταγίνεσθαι συνάντος πάλιν τοῦ κατὰ σύλληψιν πληθυντικοῦ ἐν εὐθείᾳ, ἡμεῖς παραγινόμεθα; Ἔστι καὶ τῆς συντάξεως τῶν συνδέσμων τὸ τοιοῦτον παραστῆσαι. συνδεόμενα τὰ πτωτικὰ κατὰ τὴν αὐτὴν κοινότητα τῶν ῥημάτων πάντως καὶ τῆς αὐτῆς πτώσεως ἔχεται, ἢ ἐμοὶ χαρίζεται Τρύφων ἢ σοὶ ἢ Διονυσίῳ, ἢ ἐμοῦ ἀκούει Τρύφων ἢ σοῦ ἢ Θέωνος, καὶ σαφὲς ὅτι τὸ παρεμπίπτον ἀλ-

λότριον τῆς πτώσεως ἢ σολοικισμὸν ποιήσει ἢ παρέμπτωσιν ἑτέρου ῥήματος· ἢ ἐμοῦ ἀκούει Τρύφων ἢ σοῦ ἢ Δίωνος, διὰ τὴν κοινότητα τοῦ ῥήματος, ἐπεὶ οἷόν τε φάναι ἢ ἐμοῦ ἀκούει Τρύφωνι ἢ σοὶ ὁμιλεῖ. ὁμολόγως οὖν ἑνὸς ὄντος τοῦ ῥήματος καὶ λόγου καταλλήλου ὄντος δίδοται καὶ τὰς αὐτὰς πτώσεις εἶναι. ἢ ἐγὼ οὖν ἀπέρχομαι ἢ σὺ ἢ Διονύσιος· καὶ εἰ μὲν ἀκατάλληλος ὁ λόγος, εἴη ἂν καὶ τὸ σύ ἑτέρας πτώσεως, εἰ δὲ κατάλληλος, δίδοται καὶ τὸ εὐθείας εἶναι. Ἀλλ' οὐδ' ἐκεῖνο δίδωμι, ὡς καὶ τὸ σὺ γράφεις ἐστὶν ἐν κλητικῇ συντάξει. τὸ γὰρ τοιοῦτον οὐ παραστήσει τὸ σύ, ὅτι καὶ εὐθείας, ἀλλ' ὅτι καὶ κλητικῆς· ὅπερ ἐνούμενον εὐθείας ἐστίν, ὁμοιον τῷ ἐγὼ
217 γράφω κἀκεῖνος γράφει, ἐπεχόμενον δὲ κατὰ τὴν σύ καὶ ἐπιστρέφον τὸ προσφωνούμενον κλητικὴν ὁμολογήσει οὐ δεόντως παρειλημμένην κατὰ τὸ ἀντωνυμικὸν ἔθος. ἐδείξαμεν γὰρ ὅτι οὐ δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι κατὰ τὸ πρῶτον καὶ δεύτερον πρόσωπον ἐπενοήθη τὸ μόριον· ἡ δὲ κλητικὴ τῶν ὀνομάτων φθάνει κατὰ τὸ δεύτερον, καὶ σαφὲς ὅτι ἐν κλητικῇ περισσὴ ἡ ἀντωνυμία ἐστίν. οὐδὲ γὰρ ἔχει ἀπολογίαν ἣν περ ἔσχον αἱ κατὰ τὸ τρίτον πρόσωπον ἀντωνυμίαι, ὡς δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι περισσαὶ αὗται ἐγένοντο· ἐφ' ὧν ἦν ὁ λόγος ὡς ἕνεκα τῆς δείξεως

ἢ τῆς ἀναφορᾶς παρειλημμέναι εἰσί, καθὸ ἠδυνάτει πάλιν τὸ ὄνομα τὸ τοιοῦτον ἐμφανίσαι. παραλαμβανομένη γὰρ ἡ σύ κατὰ κλητικὴν οὔτε ἀναφορὰν ἠδύνατο παραστῆσαι, δευτέρου γὰρ προσώπου, οὔτε τὴν δεῖξιν, καθὸ οἱ προσφωνούμενοι ἐπιστρέφονται καὶ οὐ δείκνυνται, ὅπου γε καὶ πὶ τοὺς μὴ ὑπ' ὄψιν πίπτοντας φθάνει ἡ κλητική. οἱ γοῦν προσφωνούμενοι διὰ τῆς ἀντωνυμίας δυςανασχέτως ἔχουσι, σαφὲς ὅτι ἐπιζητοῦντες τὸ ἴδιον ὄνομα, καίπερ ἐπὶ τῶν συζύγων ἀντωνυμιῶν τοῦ τοιούτου παρεπομένου· οὐ γὰρ ἐνεχώρει ἡ ὀνοματικὴ θέσις, καθὼς ἐπεδείξαμεν. πῶς οὖν ἡ οὐ δεόντως παραλαμβανομένη ἀντωνυμία παρώσεται
218 μὲν τὴν ἀναγκαίως παρειλημμένην κατὰ δεύτερον πρόσωπον ἐν εὐθείᾳ πτώσει, αὐτὴ δὲ ἀποίσεται τὸ μόνης εἶναι κλητικῆς; Περισσὸν οἶμαι ἐπεισάγειν ἄλλας συντάξεις τοῦ λόγου ἀνενδοιάστως ἀποδειχθέντος.

9. Ἐκεῖνό γε μὴν οὐ δοκεῖ μοι παρέλκειν, τὸ καὶ ὑπὲρ τῶν ὑπολοίπων κλητικῶν, λέγω ἐν ἀντωνυμίαις, προσδιασαφῆσαι, ὡς κατὰ τὸν αὐτὸν μὲν λόγον καὶ αἱ δυϊκαὶ καὶ αἱ πληθυντικαὶ σύνεισι καὶ ἐν κλητικῇ τοῦ αὐτοῦ ὑπόντος λόγου, πάλιν ἐν ὁμοφωνίᾳ οὖσαι ταῖς κατ' εὐθεῖαν, οὐ γε μὴν ἐν πρώτῳ ἢ τρίτῳ, καθότι οὔτε ἑαυτόν τις προσκαλεῖται οὔτε τὰ ἀπόντα καὶ κεχωρισμένα τῶν προσώπων· κλη-

τικὴ γὰρ παρόντος προσώπου πτῶσίς ἐστι, τοσαύτην ἔχοντος ἀπόστασιν ἐφ' ὅσην ἂν ἡ φωνὴ συντείνειεν. ὀρθῶς οὖν οὔτε ἡ αὐτὸς κλητικὴν ἔχει, ἄπεστι γάρ, οὔτε ἡ ἐκεῖνος· εἰς ἀπόστασιν γὰρ προσώπου ἐπενοήθη, ἢ τις μάχεται τῷ ἰδιώματι τῆς κλητικῆς. ἡ γοῦν οὗτος, οὐ ταὐτὰ ἐπιδεξαμένη ταῖς προκειμέναις ἀντωνυμίαις, δεόντως καὶ ἐπὶ κλητικῆς τίθεται. διὸ καὶ μάτην κατεμέμψαντο τὴν τῶν ἀρχαίων χρῆσιν, αὐτὸ μόνον ὑπολαβόντες ὡς τὸ τρίτον πρόσωπον ἐν ἀντωνυμίαις ἀπαράδεκτόν ἐστι κλητικῆς πτώσεως. ἦν δὲ οὐ τὸ τρίτον, τὸ δὲ
219 παρεπόμενον τῷ τρίτῳ, ἐπεὶ καὶ τὰ ὀνόματα τρίτου ἐστὶ προσώπου καὶ οὐκ ἀμοιρεῖ κλητικῆς πτώσεως.

Ἀκόλουθόν ἐστι διαλαβεῖν καὶ περὶ τῶν ἐν ταῖς κτητικαῖς κλητικῶν. Αἱ μὲν οὖν τοῦ πρώτου προσώπου καὶ ἕνεκα τοῦ παρεπομένου λόγου συνίστανται καὶ ἔτι τῆς συνούσης χρήσεως. οἷόν τε γὰρ προσφωνεῖν τὰ ὑπακουόμενα κτήματα, ὅπου γε καὶ ἐν εὐθείᾳ δεύτερον πρόσωπον λέγεται κατὰ τὰς ὑπαρκτικὰς συντάξεις, ἡ μέτερος ὑπάρχεις φίλος, ἐμὸς εἶ γνώριμος,

ἀλλὰ πατὴρ τεός εἰμι.

ἔστι δὲ καὶ τὰ τῆς χρήσεως, ἡνίκα ὁ Νέστωρ τοὺς ἰδίους παῖδας προσφωνεῖ

παῖδες ἐμοί,

καὶ ἔτι παρὰ Καλλιμάχῳ

ὦ ἐμαὶ τοῦ ἀπιόντος ἄγκυραι,

καὶ ἐπὶ τῆς συλλαμβανούσης τοὺς ἄλλους παῖδας Ἀθηνᾶς

ὦ πάτερ ἡμέτερε Κρονίδη.

Ἡ γε μὴν κατὰ τρίτον ὑπὸ μὲν τοῦ λόγου συνίσταται· οἷόν τε γὰρ τό τινος κτῆμα προσφωνεῖν, ὡς ἔστιν ἐπινοῆσαι καὶ ἐπὶ τῶν κτητικῶν ὀνομάτων. καὶ ταῦτα γὰρ ἐν δυσὶ τρίτοις καταγινόμενα ἔχει χρῆσιν τῆς κλητικῆς, Ἀριστάρχειε, ἀνδρεῖε, αἰώνιε. ὅ περ ἂν συμβαίη καὶ ἐπὶ τῶν ἀντωνυμιῶν· συσταίη γὰρ ἂν ἡ σφέτερε· οὔ γε μὴν τὰ τῆς χρήσεως ἐγένετο ἡμῖν ἐμφανῆ. Τὰ γὰρ ἐπὶ δευτέρου προσώπου οὐ μόνον ἡ χρῆσις κατέλειψεν, ἀλλὰ καὶ ὁ λόγος ἀδυνατεῖ συνέχειν, οὐχ ὡς οἴεται Ἄβρων, ὅτι
220 διάφορος ὁ ἐπ' αὐτοῖς ἀριθμὸς γενήσεται. τὸ γὰρ ὑμέτερε, φησί, πληθυντικὸν μὲν ἀκουσθήσεται κατὰ τὸν κτήτορα, ἑνικὸν δὲ κατὰ τὸ κτῆμα· καὶ σαφὲς ὅτι δώσει τὸ ὑπάρξαι κλητικὴν δευτέρου προσώπου ἰσαρίθμου καθεστώσης τῆς ἀντωνυμίας, εἴ τις φαίη ὦ ὑμέτεροι. ἔστιν οὖν αἴτιον τοῦ μὴ συνίστασθαι τὴν ἀντωνυμίαν τὸ διάφορον τῆς πτώσεως, ἔχοντος τοῦ λόγου οὕτως. πᾶν πρόσωπον πληθυντικὸν συνέστηκεν ἐξ ἑνικῶν ὁμοιοπτώτων, ἐάν τε ἡ κατὰ σύλληψιν διαφόρων προσώπων, ἐάν τε καὶ ἐξ ὁμοειδῶν συνεστήκῃ. διαφόρων μὲν οὖν προσώπων,

ἐμὲ καὶ σὲ καὶ τοῦτον ἐθεάσατο Τρύφων, ὃ γενήσεται ἡμᾶς ἐθεάσατο Τρύφων· ἐμοὶ καὶ σοὶ καὶ τοῖς περὶ Διονύσιον ἐλάλησε Τρύφων, ὃ γενήσεται ἡμῖν ἐλάλησε Τρύφων· ἐκ δὲ τῶν αὐτῶν πρόσωπων σὲ καὶ σὲ ἐθεάσατο Δίων· ὑμᾶς ἐθεάσατο Δίων, τοῦτον καὶ τοῦτον μέμφομαι· τούτους μέμφομαι. δεδομένου δὲ τοῦ τοιούτου δίδοται καὶ εἶνο, ὡς πάντα τὰ δεύτερα πρόσωπα προσφώνησιν ἔχει τὴν πρὸς αὐτά, ὡς ἔχει τὸ ὑμῶν, ὑμᾶς. τὸ δὴ οὖν ὑμέτεροι δευτέρου ἐστὶ προσώπου κατ' ἄμφω τὰ πρόσωπα· καὶ γὰρ προσφωνοῦνται οἱ κτήτορες ἕνεκα τῆς ἐγκειμένης ἀντωνυμίας, καὶ τὰ κτήματα ἕνεκα τῆς ἐγγενομένης κλητικῆς. ἀμφότερα οὖν δεύτερα καθεστῶτα διάφορά ἐστι κατὰ τὰς πτώσεις, εἴ γε γενικὴ μὲν ἔγκειται τῶν κτητόρων,
221 κλητικὴ δὲ τῶν κτημάτων. διὸ καὶ οὐκ ἀπερειδόμενοι μόνον πρὸς τὴν χρῆσιν περιγράφομεν τὰς ἀντωνυμίας, πρὸς δὲ τὸν ἐκτεθειμένον λόγον· ἐπεὶ καὶ ἡ χρῆσις τῆς ἐμός τὸ κλητικὸν παρέωσται, ὅ περ ἦν ὁμόφωνον αἰτιατικῇ τῇ ἐμέ. καὶ ἴσως τοῦτο αἴτιον ἐγίνετο τῆς ἐλλείψεως, καθὸ παραλαμβανόμενον ἔμφασιν ἀκαταλλήλου λόγου παριστάνει. δεόντως γοῦν Ἀττικῷ σχήματι συνεχρήσατο ὁ ποιητὴς κατειπεῖξαντος τοῦ λόγου παραλαβεῖν τὸ κλητικὸν σχῆμα ἐν τῷ

γαμβρὸς ἐμὸς θύγατέρ τε.

πῶς ἄρ' οὐ δοθείη καὶ διὰ τὸν προεκκείμενον λόγον καὶ διὰ τὰ συνυπάρχοντα αὐτῷ ἐνικὰ κατὰ γένος, οὐδετέρως μὲν

τέκνον ἐμόν,

θηλυκῶς δὲ

μῆτερ ἐμή;

τούτων γὰρ ὑπαρχόντων ἀνάγκη καὶ τὸ ἀρσενικὸν συνυπάρχειν.

Εἴρηται ἡμῖν περὶ συνεμπτώσεως τῆς ἐμοῦ, πότε κτητική ἐστι καὶ πότε πρωτότυπος, ἡνίκα καὶ περὶ τῆς Ζηνοδοτείου γραφῆς διελαμβάνομεν. πρόδηλός τέ ἐστι καὶ ἡ ἐμοὶ ἀντωνυμία συνεμπίπτουσα πληθυντικῇ συνάρθρῳ καὶ δοτικῇ ἐνικῇ κατὰ πρῶτον καὶ δεύτερον, οὐ μὴν κατὰ τρίτον· ὀρθοτονουμένη γὰρ ἡ ἐνικὴ περισπᾶται, ἥ γε μὴν κτητικὴ ὀξύνεται. σαφὲς δ' ὅτι καὶ ἐγκλιθεῖσαι αἱ πρωτότυποι ἀποβάλλουσι τὴν συνέμπτωσιν. διὸ καὶ κεῖνο τὸ ἀνάγνωσμα οὐκ ἐγ-
222 κλινόμενον τὴν κτητικὴν ἀντωνυμίαν σημαίνει,

οἱ δὲ οἱ ἐβλάφθησαν·

ἐγκλιτικῶς γε μὴν ἀναγνωσθέν, ἡνίκα ὀξύνομεν τὴν δὲ συλλαβήν, ἔθος τηρεῖ Ὁμηρικὸν τὸ δοτικὴν ἀντὶ γενικῆς παρειλῆφθαι.

Εἴπομεν καὶ περὶ συνεμπτώσεως τῆς τῶν ἄρθρων, ὡς τὰ ὑποτακτικὰ ταῖς κτητικαῖς κατὰ τρίτον πρόσωπον ὁμοφωνεῖ, καὶ ὡς πάλιν διὰ τὸ τοιοῦτον πτωτικῶν μὲν συνόντων κτητικαί εἰσιν

ἀντωνυμίαι τὰ τοιαῦτα,

ὃν γόνον,
οὕνεκ' ἄρ' οὐχ ᾧ παιδί,
ᾧ θυμῷ εἶξασα,
ἢ κεφαλῇ φορέειν,
ἢ ὃν αὐτοῦ χρεῖος·

ῥημάτων δὲ ἐπιφερομένων πάλιν καταλλήλως τὰ σχήματα γίνεται ἀρθρικὴν ἀναδεξάμενα σύνταξιν, εἴ γε καὶ τὸ τοιοῦτον ἐδείχθη, ὡς καὶ τὰ ὑποτακτικὰ ἄρθρα ἐπὶ ῥῆμα φέρεται,

ἢ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε,

τοῦ ἐξῆς ὄντος ἢ ἔθηκε μυρία κακὰ τοῖς Ἕλλησιν·

ὅς ποτέ μ' εἰρόμενος,
ὃς εἰρόμενός με.

Δυςέφικτόν ἐστι τὴν ἐν ἅπασι τοῖς μέρεσι τοῦ λόγου συνέμπτωσιν παραθέσθαι· ἀρκτὴ γάρ ἐστι καὶ ἡ προκειμένη εἰς τὸ παραστῆσαι τὴν ὑπόλοιπον συνέμπτωσιν.

Οὐ μὴν ἐκεῖνο ἄξιον παραλιπεῖν, διότι ἐπὶ μὲν ἀρσενικῶν καὶ θηλυκῶν εὐθειῶν πληθυντικῶν προφανὲς γίνεται τὸ ἀκαταλλήλως ποιουμένων σύνταξιν τὴν πρὸς τὸ ἐνικόν, εἰ φαίημεν οἱ ἄνδρες λέγει, αἱ γυναῖκες λέγει, οὐ μὴν κατ' οὐδετέραν προφοράν, κἂν τὸ αὐτὸ δηλούμενον ἢ μόνον τοῦ χαρακτῆρος ἐναλλαγμένου, εἰ φαίημεν τὰ γύναια λέγει. οὐδὲ γὰρ ἐκεῖνο τὸ ἄπορον ἐπιλύει, ὡς Βοιωτιόν ἐστιν ἔθος, ὅμοιον τῷ παρὰ Πινδάρῳ

ἀχεῖται ὀμφαὶ μελέων σὺν αὐλοῖς·
αὐτὸ γὰρ τοῦτο ἐπιζητεῖ ὁ λόγος, ὡς λανθάνει τὸ σχῆμα τὸ τοῦ οὐδετέρου. ὅτι γὰρ οὐδὲν ἡ τοῦ γένους σύνταξις ὑπεκλύει τὸν λόγον, ὡς ὅτι τὰ οὐδέτερα ἁρμόδιά ἐστι τοῖς ἐνικοῖς, σαφὲς ἐκ τοῦ ἐν μόνοις ἀπτώτοις ἀδιαφορεῖν τὴν τῶν γενῶν σύνταξιν· πᾶν γὰρ μέρος λόγου ἄπτωτον μίαν καὶ τὴν αὐτὴν ἔχει σύνταξιν ἅπασι τοῖς γένεσιν. Ἔστι δὲ καὶ οὕτω φάναι. ἐδείξαμεν ἐν τοῖς προκειμένοις ὡς οὐδὲν μέρος λόγου γίνεται ἀκατάλληλον ἐν ᾧ μὴ διακρίθη, ὡς τὰ ἐπιρρήματα ἐν ἀριθμῷ, χωρὶς εἰ μὴ αὐτὰ δηλώσειεν ἀριθμόν, οὐκ ἐν διαφόροις χρόνοις, χωρὶς εἰ μὴ αὐτὰ πάλιν διαστείλειε χρόνον, ὡς ἐν τῷ χθές, αὔριον καὶ ἄλλοις οἷς παρεθέμεθά. οἱ σύνδεσμοι ἀριθμὸν οὐκ ἐπιδεξάμενοι οὐδὲ παρὰ τοὺς ἀριθμοὺς ἁμαρτάνονται, ἀλλ' οὐδὲ γένος. πρόδηλον τὸ εἰρημένον ἐπὶ πάντων τῶν μερῶν τοῦ λόγου. τὰ δὲ ῥήματα γένος μὲν οὐ διακρίνει, ἀριθμὸν δὲ καὶ πρόσωπον
224 καὶ ἄλλα περὶ ἃ καταγίνεται. οὐκ ἄρα ὀφείλει γινώσκειν ἐν διαφόρῳ σχήματι τὸ οὐδέτερον καὶ ἐν διαφόρῳ τὸ ἀρσενικὸν ἢ θηλυκόν· πῶς οὖν φαμὲν λέγουσιν οἱ ἄνθρωποι καὶ λέγει τὰ παιδία; εἰ δὲ ἀριθμὸν παρεμφαίνει, σαφὲς ὅτι συμπληθυνθήσεται τοῖς συνοῦσι πληθυντικοῖς, καὶ δῆλον ὅτι τὸ

σπάρτα λέλυνται

ἀνα-

ἀναλογώτερον τοῦ
δοῦρα σέσηπε.

Παρὸν καὶ τῶν πρώτων καὶ δευτέρων διελέγξαι τὸ σχῆμα. εἰ γὰρ ὑγιὲς τὸ φάναι φιλοπονοῦμεν παιδία ὄντα, οὐχὶ φιλοπονῶ παιδία ὄντα, καὶ ἐπὶ δευτέρων προσώπων ταὐτόν, πῶς οὐ δοθήσεται ἄλογον καθίστασθαι τὸ φιλοπονεῖ παιδία ὄντας; Καὶ αὕτη μὲν ἀπόδειξίς ἐστι τοῦ ὑγιοῦς λόγου.

Αἴτιον μέντοι ὑπολαμβάνω τοῦ παραδέξασθαι τὴν ἐνικὴν σύνταξιν τὰ ῥήματα οὐκ ἄλλο τι ἢ τὴν ὁμοφωνίαν τῆς εὐθείας ὡς πρὸς τὴν αἰτιατικήν, ὅ περ οὐ παρείπετο τοῖς τε ἀρσενικοῖς καὶ θηλυκοῖς. διὸ καὶ ἐν τῇ εὐθείᾳ προφανὴς ἡ ἀναταλληλότης γίνεται ἐν τῷ οἱ ἄνδρες γράφει, οὐ μὴν ἐν αἰτιατικῇ· ἐν μεταβάσει γὰρ τὸ πρόσωπον νοεῖται τοῦ γράφω, ἄνδρας γράφει. ἀναμερισθεῖσαι οὖν αἱ πτώσεις ἐν ἰδίαις φωναῖς διέκριναν τό τε κατάλληλον καὶ τὸ ἀκατάλληλον. οὐ τοῦ τοιούτου δὲ παρεπομένου κατ' οὐδέτερον σχῆμα συνέβαινε τὸ μὲν ἕτερον φυσικώτερόν πως ἔχειν, λέγω τὸ κατ' αἰτιατικήν, φέρε εἰπεῖν γράφει τὰ παιδία, ὡς εἰ καὶ γράφει τοὺς παῖδας· καίπει ἐν μὲν τῷ ἀρσενικῷ οὐχ αἱ αὐταὶ φωναί, γράφει γὰρ οἱ παῖδες, ἐν δὲ τῷ οὐδετέρῳ ταὐτόν, ὅ περ ἦν ἀνακόλουθον, τῇ πρὸς τὴν αἰτιατικὴν ὁμοφωνίᾳ συντρέχον τὸ σχῆμα δύσληπτον ἐποίει τὸ ἀκα-

τάλληλον. ἐδείχθη ἄρα καὶ διότι ἀπαταλλήλου καὶ διότι λανθάνει.

12 Ἑξῆς ῥητέον καὶ περὶ τῆς καθολικῆς συντάξεως τῶν ῥημάτων, ἣν πάνυ ὑπείληφα πολυμερεστάτην οὖσαν δεῖσθαι οὐ μετρίας ἐπιστάσεως· αἵ τε γὰρ παρεπόμεναι ἐγκλίσεις λόγον ἀπαιτήσουσι τῆς συντάξεως, καὶ οἱ ἐν αὐταῖς ἀναμερισθέντες χρόνοι, καὶ ἡ συμπαρεπομένη διάθεσις, ἐνεργητικὴ οὖσα ἢ παθητική, καὶ ἡ μεταξὺ τούτων πεπτωκυῖα μέση, οὐ προσχωροῦσα οὐδετέρᾳ, καὶ τὰ ἐγγινόμενα πρόσωπα ἐκ τῷ καθόλου ἢ μερικῶς ἢ οὐδ' ὅλως, καὶ εἰ ἅπασι σύμφωνοί εἰσιν αἱ δύο διαθέσεις, ἥ τε ἐνεργητικὴ καὶ ἡ παθητική, τίνα τε αὐτῶν πλαγίαις θέλει ἐπαρτᾶσθαι, καὶ πότερον ἀδιαφόρως ἢ κατὰ μερισμὸν τὸν δέοντα τῶν πτώσεων. εἰσὶ καὶ ἄλλαι εἰδικώτεραι συντάξεις τῶν προκατειλεγμένων, ἃς κατὰ τὸ ἐπιβάλλον διακρινοῦμεν.

Ἡ ἀπαρέμφατος ἔγκλισις διστάζεται πρός τινων εἰ ἔγκλισις καὶ εἰ ὅλως ῥήματα τὰ ἀπαρέμφατα· τί γὰρ μὴ μᾶλλον ἐπιῤῥήματα ἐκ
13 ῥημάτων γενόμενα; καὶ εἴη ἂν τὰ συνηγοροῦντα
226 τῷ λόγῳ τοιαῦτα. Τοῖς ῥήμασιν ἐξαιρέτως παράκειται ἡ ψυχικὴ διάθεσις, ὅ περ οὐ σύνεστι τοῖς ἀπαρεμφάτοις, καὶ τὸ ἐν ἀριθμοῖς καὶ προσώποις καταγίνεσθαι, ὧν τῆς διαφορᾶς οὐκ ἔτυχε τὸ

ἀπαρέμφατον, καθὸ καὶ ἡ ἐξ αὐτῶν μεταληφθεῖσα μετοχὴ στερουμένη τῶν προκειμένων καὶ τῆς τῶν ῥημάτων ἰδέας ἀπεβλήθη. οὐ γὰρ δή γε ὁ μετασχηματισμὸς τοῦ χρόνου ἐν τῷ γράφειν ἢ γράψαι καὶ ἔτι ἡ συνοῦσα διάθεσις συνάξει τὸ ῥήματα αὐτὰ πάντως καλεῖσθαι, ἐπεὶ ταὐτὸν σύνεστι τῇ μετοχῇ καὶ οὐ ῥήματα αἱ μετοχαί. Πόθεν δέ, ὅτι ἐπιῤῥήματα; Καθότι ἐγκλισις μὲν διάφορος κατὰ σύνταξιν τοῦ αὐτοῦ προσώπου οὐ παραλαμβάνεται· οὐ γάρ φαμεν γράφεις λέξαις ἢ τι τῶν τοιούτων τῶν μὴ δυναμένων παραλαμβάνεσθαι, φαμὲν δὲ θέλεις γράφειν, ἀναγινώσκειν βούλει. ἴδιον δὲ ἦν ἐπιῤῥημάτων τὸ σὺν ῥήμασι παραλαμβάνεσθαι προτακτικῶς ἢ ὑποτακτικῶς, ὅ περ παρείπετο τῷ γράφειν θέλω, θέλω γράφειν, ὡς εἰ καὶ Ἑλληνιστὶ λέγω, λέγω Ἑλληνιστί. καὶ ὡς τὸ Ἑλληνιστί προσλαβὸν τὸ λέγω ἀπαρτίζει τὸν λόγον, οὕτω τὸ γράφειν προσλαβὸν τὸ θέλω. καὶ ὡς ἀδιαφορεῖ κατὰ παντὸς ἀριθμοῦ τὰ ἐπιῤῥήματα, οὕτω
227 καὶ τὸ γράφειν θέλω ἢ θέλομεν. καὶ ὡς ἀδιαφορεῖ κατὰ τὰ πρόσωπα, Ἑλληνιστὶ λέγω, Ἑλληνιστὶ λέγεις, οὕτω τὸ γράφειν θέλω, γράφειν θέλεις. καὶ εἰ ἀπὸ ῥημάτων ἴσθ' ὅτι τὰ ἐπιῤῥήματα παράγεται, ὡς αὐτὸ τὸ Ἑλληνιστί τῷ ἑλληνίζω παράκειται, οὐ κωλύει καὶ τῷ γράφω παρακεῖσθαι

τὸ γράφειν, οὐ μαχομένου τοῦ διαφόρου χρόνου· δύναται γὰρ κατὰ χρόνον τὸ ἐπίρρημα ἀποτελεῖσθαι, καθὸ ἔστιν ἐπινοῆσαι κἀπὶ τῶν μετοχῶν, εἴ γε τῷ μὲν γράφω ἡ γράφων παράκειται, τῷ δ' ἔγραψα ἡ γράψας. τῷ γὰρ αὐτῷ λόγῳ καὶ τῷ γράφω τὸ γράφειν παρακείσεται, τῷ τε ἔγραψα τὸ γράψαι.

Ἀλλ' ἔστι γε πρὸς ταῦτα φάναι. καὶ πρὸς μὲν τὴν σύνταξιν τοῦ θέλω γράφειν καὶ τῶν τοιούτων, ὡς οὐκ ἐν τῷ καθόλου δίδεται τὸ κατὰ τοῦ αὐτοῦ προσώπου διαφόρους ἐγκλίσεις μὴ παραλαμβάνεσθαι· φαμὲν γὰρ ἐὰν ἀναγινώσκῃς πρόσεχε, ἐὰν διαλέγῃ ἐπίστρεφε σεαυτόν, πρὸς τῷ μηδὲ ἐν τῷ καθόλου τὴν τοιαύτην σύνταξιν διήκειν· φαμὲν γὰρ προαιροῦμαι ἀναγινώσκειν καὶ φιλῶ γράφειν, οὐ μὴν γελῶ γράφειν οὐδὲ σκάλλω λέγειν, ὅπερ εἰ κατὰ τὸν λόγον ἦν τῶν ἐπιρρημάτων, ἐπὶ ῥήματα φέρεσθαι ἤμελλεν. ἔστιν οὖν τῆς συντάξεως [ἡ] αἰτία ἥδε. τῶν ῥημάτων ἃ μέν ἐστιν ἐμπεριεκτικὰ πραγμάτων, ἐφ' ἃ καὶ ἡ ὁριστικὴ ἔγκλισις ἀπερείδεται καὶ αἱ ὑπόλοιποι, ὡς τὸ γράφω, ἐρίσσω, τύπτω· ἃ δὲ αὐτὸ μόνον προαίρεσιν ψυχῆς ὁρίζεται, ἐλλείποντα τῷ πράγματι, ὡς τὸ θέλω, βούλομαι, προθυμοῦμαι, ἃ δὴ ὡσπερεὶ κενὰ ὄντα ἀναπληροῦται τῇ τοῦ πράγματος παραθέσει, ὅπερ οὐκ ἄλλο τί ἐστιν ἢ τὸ προκείμενον ἀπα-

ρέμφατον, γενικώτατον καθεστὸς τῶν ἄλλων ῥημάτων, ὡς ἐν τοῖς ἑξῆς δεδείξεται, θέλω περιπατεῖν, βούλομαι γράφειν. τά γε μὴν ἀπειλημφότα διὰ τοῦ ἐπακολουθοῦντος ὁρισμοῦ τὸ πρᾶγμα ἀπροσδεῆ καθειστήκει ὡς πρὸς τὴν σύνταξιν τῶν ἀπαρεμφάτων· ἐγκειμένου γὰρ τοῦ τύπτειν ἐν τῷ τύπτω περισσὸν τὸ ἐπάγειν ἕτερον πρᾶγμα, τύπτω γράφειν, οὐ μὴν ἐν τῷ θέλω γράφειν. Καθὼς ἔφαμεν, ἔστι γενικωτάτη ἡ τῶν ἀπαρεμφάτων ἔγκλισις, ἀναγκαίως λείπουσα τοῖς προδιαπορηθεῖσι, τῷ παρεπομένῳ ἀριθμῷ, ὃς οὐ φύσει παρέπεται τῷ ῥήματι, παρακολούθημα δὲ γίνεται προσώπων τῶν μετειλημφότων τοῦ πράγματος. αὐτὸ γὰρ τὸ πρᾶγμα ἓν ἐστι, τὸ γράφειν, τὸ περιπατεῖν· ὃ περ ἐγγινόμενον ἐν προσώποις ποιεῖ τὸ περιπατῶ, τὸ περιπατεῖτον, τὸ περιπατοῦσιν. Οὐδὲ γὰρ ἐκεῖνο ἀληθεύσει, ὡς τὸ ῥῆμα δεκτικόν ἐστι προσώπων· πάλιν γὰρ ἐκ τοῦ παρεπομένου τὸ τοιοῦτον ἐπεγένετο. τὰ γὰρ μετειλημφότα πρόσωπα τοῦ πράγματος εἰς πρόσωπα ἀνεμερίσθη, περιπατῶ, περιπατεῖς, περιπατεῖ· αὐτό γε μὴν ἐκτὸς ὂν προσώπων καὶ ἀριθμῶν συμφέρεται ἅπασιν ἀριθμοῖς καὶ ἅπασι προσώποις. Ἀλλ' οὐδὲ ψυχικὴν διάθεσιν τὸ ῥῆμα ἐπιδέχεται. πάλιν γὰρ τὰ μετειλημφότα πρόσωπα τοῦ πράγματος τὴν ἐν αὐτοῖς διά-
229 θεσιν ὁμολογεῖ διὰ τοῦ ῥήματος· τὰ δέ, ὡς

οὐκέτι ἐγγενόμενα ἐν προσώποις, οὐδὲ τὸ ἐν τούτοις ἐπιγενόμενον ἐνδιάθετον τῆς ψυχῆς ὁμολογεῖ. Ἴδιον αὖ ῥήματός ἐστιν, ἐν ἰδίοις μετασχηματισμοῖς διάφορος χρόνος διάθεσίς τε ἡ ἐνεργητική, ἡ παθητικὴ καὶ ἔτι ἡ μέση· ὧν πάντων μετέλαβε τὸ γενικώτατον ῥῆμα, λέγω τὸ ἀπαρέμφατον, ἐπεὶ εἴ περ τῇ φύσει ἦν ἀπαρέμφατον, πῶς ταῦτα παρεμφαίνει; ἔστι γοῦν ἐπινοῆσαι τὸ γενικώτατον ὄνομα ἐν θέσει ἰδίᾳ καταγινόμενον ἢ κοινῇ, ἐν πτώσει τῇ παρεπομένῃ, ἐν γένει τῷ δέοντι· τό γε μὴν εἰδικώτατον καταγίνεσθαι ἐν πατρωνυμικῇ ἐννοίᾳ ἢ ἐν κτητικῇ καὶ ἔτι ταῖς ὑπολοίποις· καὶ δῆλον ὅτι οὐκ ἂν θαῤῥήσειέ τις φάναι μὴ εἶναι ὄνομα ὃ μή ἐστι πατρωνυμικὸν ἢ κτητικὸν ἢ τι τῶν ὑπὸ τὸ αὐτὸ εἶδος πιπτόντων. τούτῳ οὖν τῷ λόγῳ παραδεξόμεθα τὸ ὁριστικὸν ῥῆμα καὶ τὸ εὐκτικὸν καὶ ἔτι τὰ ὑπόλοιπα εἴδη τοῦ γενικοῦ ῥήματος, ὃ δὴ οὐ πάντως στερήσεται τοῦ μὴ ῥῆμα εἶναι, ἐὰν μὴ ὑπαγορεύῃ τὴν εἰδικὴν σημασίαν.

Ἔστι καὶ οὕτως ἐπιδεῖξαι. Καθόλου πᾶν παρηγμένον ἀπό τινος ἀνάλυσιν ἔχει τὴν πρὸς τὸ πρωτότυπον μετὰ λέξεως τῆς σημαινούσης ταὐτὸν τῇ παραγωγῇ. παρὰ τὴν Ἕκτορος γενικὴν ἀποτελεῖται τὸ Ἑκτορίδης, ᾧ καὶ προσγίνεται τὸ υἱός, καὶ διὰ τοῦτο ἀναλύεται εἰς
230 τὸ Ἕκτορος υἱός. παρὰ τὸ γοργός ἀποτελεῖται

τὸ γοργότερος προτιγινομένου τοῦ μᾶλλον, ὃ δὴ πάλιν ἀνάλυσιν ἔχει εἰς τὸ γοργὸς μᾶλλον. παρὰ τοὺς ἵππους ἐμπεριεκτικόν τι ἀποτελεῖται, τὸ ἱππάν, ὃ δὴ πάλιν ἀναλύεται εἰς τὸ ἵπτους συνέχον. καὶ περισσὸν ἂν εἴη εἰς τὸ τοιοῦτο παρατίθεσθαι· δῆλον γὰρ τὸ εἰρημένον. Καὶ δὴ πᾶσα ἔγκλισις οὐκ εἰς ἄλλο τι μεταλαμβάνεται ἢ εἰς ἀπαρέμφατον μετὰ λέξεως τῆς σημαινούσης ταὐτὸν τῇ ἐγκλίσει, ὅτε οὕτω φαμέν, περιπατῶ-ὡρισάμην περιπατεῖν, περιπατοῖμι-ηὐξάμην περιπατεῖν, περιπάτει-προσέταξα περιπατεῖν. Πῶς οὖν οὐ βέλτιον τὸ τὰ συνεκτικώτατα τῶν ἀπάντων ῥημάτων περιγράφειν τῆς τῶν ῥημάτων ἐννοίας;

Οὐ λήψομαι ὡς ἐν ἑτέροις συμφερόμενός τισι τὴν ὁριστικὴν ἔγκλισιν παραδέχομαι. ὡς πρωτεύουσαν τῶν ἄλλων. ἀλλ' οὖν γε ἡ ἀκριβὴς ἐξέτασις τοῦ λόγου κατηνάγκασε τὸ μεταθέσθαι, συγχωρουμένου ἐκείνου, ὡς δέοντος ἀπὸ τῆς ὁριστικῆς ἐγκλίσεως ἀρχόμεθα, οὐχ ὡς πρώτης οὔσης, ὡς δὲ ἀφελεστάτης οὔσης καὶ πολλῆς καὶ δυναμένης διδάξαι καὶ τὰς ἐγγινομένας συνεμπτώσεις καὶ τὰ ἐγγινόμενα πάθη καὶ παραγωγάς, οὐδὲ τοῦ τοιούτου μαχομένου, καθὸ ἐν τοῖς τοιούτοις ἐλλιπεστέρα ἡ ἀπαρέμφατος ἔγκλισις, εἴ γε καὶ τὰ πρωτότυπα τῶν λέξεων ἐν ἐλάττονι καταγίνεται ὕλῃ τῶν παραγωγῶν.

14 Οἶμαι δὲ καὶ τὸ Ὁμηρικὸν ἦθος, ἐκστὰν
231 τῆς προστακτικῆς συντάξεως, δεόντως ἀνθυ-
παλλάξαι τὴν ἀπαρέμφατον ἔγκλισιν, οὖσαν
γενικήν, εἰς ἣν καὶ ἐδείχθη ἅπαντα τὰ εἰδικὰ
μεταλαμβανόμενα. Οὕτω γὰρ ἔχει καὶ ἡ ἐπι-
σταλτικὴ σύνταξις, Τρύφων Θέωνι χαί-
ρειν, τοῦτο διαφέρουσα τῆς Ὁμηρικῆς συνηθεί-
ας, καθὸ ἡ μὲν ἐπὶ τὰ προστακτικὸν φύσει κα-
ταφέρεται, καὶ οἷόν τέ ἐστιν ἐπ' αὐτῆς τὰ
προστακτικὰ παραλαμβάνειν, προῆπται μέν-
τοι τῷ δοθέντι σχήματι τοῦ λόγου· οὐ μὴν
ἔτι τὸ ἐν τῇ ἐπιστολτικῇ συντάξει ἠδύνατο τὸ
τοιοῦτον παραδέξασθαι. ἔχει γὰρ ὁ λόγος οὕ-
τως. εἴπομεν ὡς ἀναγκαίως ἡ εὐθεῖα τῶν κυ-
ρίων ὀνομάτων παραλαμβάνεται· ἀλλὰ καὶ ἡ
δοτική, ἣν περιποιεῖται ἡ τοῦ λόγου σύνταξις,
οὐ δυναμένη τὴν προστακτικὴν ἔγκλισιν παρα-
δέξασθαι, ἀλλ' οὐδ' ἄλλην τινά. ἔστι γὰρ τὸ
Διονυσίῳ χαίρειν ἐν ἴσῳ τῷ Διονύσιε χαῖ-
ρε, ἃ περ οὐκ ἠδύνατο ἐγχωρῆσαι, ἐπεὶ ἡ
προστακτικὴ ἔγκλισις καὶ ἔτι ἡ κλητικὴ πτῶ-
σις ἐπὶ παροῦσι τοῖς προσώποις σύνεστιν, ᾧ
δὲ τὰ τοῦ λόγου ἐπιστέλλεται, ἄπεστι, καὶ
αὐτὸς δὲ ὁ ἐπιστέλλων παρὼν ἀπόντος σύν-
ταξιν ποιεῖται. ἡ γὰρ εὐθεῖα τῶν ὀνομάτων
232 δέδεικται ὡς τρίτου ἐστὶ προσώπου· ἐδείξαμεν
γὰρ ὡς οὐ προσεχώρει ἡ ἐν εὐθείαις ἀντωνυμι-
κὴ σύνταξις, ἐν δείξει οὖσα τῶν παρόντων

προσώπων. ὁ πάλιν οὐκ ἐνεχώρει τῷ λόγῳ, εἴ γε ἀμφότερα τὰ πρόσωπα οὐχ ὁρώμενά ἐστι, τό τε τοῦ ἐπιστέλλοντος καὶ τοῦ ἐπιστελλομένου. συνούσης οὖν τῆς εὐθείας καὶ ἔτι τῆς δοτικῆς κατὰ τὸ τρίτον πρόσωπον ἀνάγκη πᾶσα καὶ τὰ συνασσόμενα ῥήματα ἐν τρίτῳ καταγίνεσθαι, καὶ συντάσσεσθαι οὐκ ἐν ἄλλῃ πτώσει ἢ τῇ εὐθείᾳ. τὸ γοῦν προκείμενον ῥῆμα ἐπὶ τὴν εὐθεῖαν συντείνει, Ἀπολλωνίος Διονυσίῳ χαιρέτω ἢ καὶ ἔτι χαίρειν ἢ χαίρους. καὶ ἵνα δῶμεν τὰ τοῦ λόγου καταλληλα εἶναι, ἐκεῖνο σαφέστατόν ἐστιν, ὅτι τὰ κατὰ τὴν εὐθεῖαν μετέλαβε τοῦ χαίρειν, οὐχὶ τὸ κατὰ δοτικήν· ἦν γε μὴν τοὐναντίον τὸ προσχωρεῖν τῷ ἐπιστελλομένῳ τὸ χαίρειν, ὡς εἰ καὶ τοῖς ὑπ' ὄψιν συνοῦσί φαμεν τὸ χαῖρε, οὐχ ἑαυτοῖς προστιθέντες τὸ χαίροιμι ἢ χαίρω. οὐ δυναμένου οὖν τοῦ τοιούτου παραλαμβάνεσθαι ἀνάγκη πᾶσα εἰς τὸ γενικὸν ἀπαρέμφατον παραλαμβάνεσθαι τὴν σύνταξιν, συνηθέστερον ὑπακουομένης τῆς συντάξεως τῆς λέγει ἢ εὔχεται, Τρύφων Θέωνι λέγει χαίρειν, συνήθως καὶ ἄλλων ὑπακουομένων, ὡς

κόπτων ἀμφοτέρησιν,

ὕει, βροντᾷ. ἐξαιρέτως γε μὴν καὶ τῶν ῥημάτων αἱ ἐγκλίσεις ἔχουσιν ἐγκείμενα ῥήματα, καθὼς ἐδείξαμεν ὅτι ἐν τῷ χαίρους ἔγκειται τὸ
233 εὔχεσθαι, ἐν τῷ χαῖρε τὸ προστάξαι, ἃ περ

νεστι διαφόροις ἀριθμοῖς, καλῶς γράφω ἢ καὶ γράφομεν καὶ ἔτι ἐπὶ τῶν ἑξῆς προσώπων· τά γε μὴν ῥήματα συμπλημμύνεται καὶ συμμεταβαίνει τοῖς προσώποις, ἡμεῖς γρά-
236 φομεν, ὑμεῖς γράφετε. οὐ μὴν τὸ χρὴ καὶ τὸ δεῖ χρὴ γὰρ ἡμᾶς γράφειν, χρὴ ἐμὲ γράφειν, καὶ δεῖ σὲ ἀναγινώσκειν, δεῖ ὑμᾶς διαλέγεσθαι. καὶ ἕνεκα πάλιν τοῦ τοιούτου μᾶλλον ἐπιῤῥήματά ἐστιν. Οὐδὲ γὰρ ἐνὸν φάναι ὡς ῥήματά ἐστιν ἀπαρέμφατα, οἷς παρακολουθεῖ τὸ εἰς ἀριθμὸν διάφορον παραλαμβάνεσθαι, τὸ μὴ προσδιακρίνειν πρόσωπον, περὶ ὧν καὶ ἐν τοῖς προκειμένοις ἐκτεθείμεθα. ἰδοὺ γὰρ οὔτε τὰ τῆς φωνῆς ὑπακούει ἰδιώματα οὔτε τὰ τῆς συντάξεως. ποῖον γὰρ ἀπαρέμφατον εἰς ῑ δίφθογγον λήγει ἢ εἰς ῐ̄; ἢ πότε ἀπαρέμφατα δύο μετὰ πτωτικοῦ τινὸς λόγον παρίστησι; φαμὲν δέ γε δεῖ περιπατεῖν Διονύσιον. καὶ ἕνεκα τούτου ἀποστήσεται τοῦ μερισμοῦ τῶν ἀπαρεμφάτων· οὐ μὴν πάλιν ὑποταγήσεται τοῖς λοιποῖς ῥήμασι, καθὸ πάλιν ἀντίκειται τὸ ἀδιάκριτον πρόσωπον καὶ ἔτι ὁ μὴ παρακολουθῶν ἀριθμός, ὃς ἦν κοινὸς ἁπάντων ῥημάτων.

Ἀλλ' ἔστι γε πρὸς ταῦτα φάναι. Εἰ ἔστιν ἐπιῤῥήματα αὐτὸ μόνον φερόμενα ἐπὶ ἀπαρέμφατα, ὡς τὸ εἴθε ἐπὶ εὐκτικὰ καὶ τὸ ἄγε ἐπὶ προστακτικά, τί δή ποτε οὐ συμφέρεται τοῖς

κατ' εὐθεῖαν προσώποις; ὡς ἔχει τὸ εἴθε ἐγὼ γράφοιμι, εἴθε ἡμεῖς γράφοιμεν, ἄγε γράφωμεν ἡμεῖς, ἄγε γράφετε ὑμεῖς. οὐδὲ γὰρ ἔστι φάναι δεῖ ἐγὼ γράφειν οὐδὲ χρὴ ὑμεῖς γράφειν, τῆς τῶν ῥημάτων συντάξεως τὸ τοιοῦτον οὐκ ἐμποδίζούσης, εἴθε ὑμεῖς ἀκούοιτε, εἴθε ὑμᾶς θεάσαιτο, εἴθε ὑμῶν ἀκούοι· ὁ αὐτὸς λόγος καὶ ἐπὶ
236 τῶν ὁμοίων. Ἴδιον ῥημάτων τὸ ἐν παρωχημένοις καὶ χρόνον ἔξωθεν προσλαμβάνειν, οὐ μὴν ἐπιῤῥημάτων. φαμὲν σήμερον γράφω, σήμερον ἔγραφον, τοῦ μὲν ῥήματος προσλαμβάνοντος κατ' ἀρχὴν χρόνον, τοῦ δὲ ἐπιῤῥήματος συναρχομένου. φαμὲν δέ γε δεῖ γράφειν καὶ ἔδει γράφειν, καὶ τὸ μὲν ἔδει χρόνον προσέλαβεν ὁμοίως τῷ ἔπλει καὶ ἔπνει, τό γε μὴν γράφειν οὐ προσελάμβανε. καὶ τάχα τὸ παρακινδυνευόμενον εἶναι ἐπιῤῥημα ἔνδειξιν ἱκανὴν τοῦ εἶναι ῥῆμα παρίστησι, τὸ δὲ γράφειν παρεκινδυνεύετο εἰ ῥῆμα ἦν, περὶ οὗ πᾶσαν ἀκρίβειαν εἰσπενεγκάμεθα ὡς ἔστι γενικώτατον τῶν ἄλλων ῥημάτων. πρὸς οἷς καὶ διαπλασιάζεται, ὅ περ ἴδιον ῥημάτων, ὡς ἐν τῷ γεγραφέναι καὶ τοῖς ὁμοίοις. οὐδὲ γὰρ ἐκεῖνό φαμεν, ὡς τὰ μὴ προσειληφότα κατὰ τοὺς παρῳχημένους τῶν χρόνων οὐχὶ ῥήματά ἐστιν, ἐπεὶ καὶ αἱ ἐξῆς ἐγκλίσεις ἅπασαι οὐ προσλαμβάνουσι — μόνη γὰρ ἡ ὁριστικὴ —,

ἀλλ᾽ ἐκεῖνο ἴσ᾽ ἀληθές, ὡς τὰ προσλαβόντα ῥήματος μερισμὸν ὑπαγορεύω, μηδεὶς ἁπτέσθω δὲ καὶ τὸ ἐχρῆν καὶ τὸ ἔδει προσειληφότα· οἷς καὶ ὡς ῥήμασι σύνεστιν ἀπαρέμφατα τὸ χρῆναι καὶ τὸ δεῖσθαι, καθότι καὶ στῆναι καὶ πεῖσθαι. 5
Ἀλλὰ καὶ ἐκ τῶν τόνων ἔστιν αὐτὰ καταλαβέσθαι. περισπᾶται τὸ δεῖ ὁμοίως τῷ πλεῖ. οὐχὶ οὖν καὶ ἐπιῤῥήματα περισπᾶται, ὡς τὸ πεῖ, αὐτεῖ, τουτεῖ; τὸ πρῶτον Δώρια, ὅ περ
237 αὖ παρείπετο τῷ δεῖ· τὸ δεύτερον ἀντὶ παρακειμένου τοῦ ποῦ καὶ ἔτι τοῦ οὗ καὶ αὐτοῦ· σύνεστι τῷ πεῖ τὰ εἶ, τὸ αὐτεῖ. ὅ περ οὐ παρείπετο πάλιν τῷ δεῖ· ἦν γὰρ κατὰ συναίρεσιν ἐκ τοῦ δέει, συνῃρημένον ὁμοίως τῷ πλέει καὶ ῥέει καὶ χέει, πρῶτον δὲ πρόσωπον ἔχει τὸ δέω ὡς πνέω, ἦν δὲ καὶπὶ τοῦ χρή τὸ πάθος παρεπόμενον· ὅ περ ἔστιν εὑρέσθαι καὶ ἐπὶ ἑτέρου ῥήματος, τοῦ δέω, σημαίνοντος τὸ ἐνδέομαι. συνωνυμεῖ τὸ χρῶ καὶ χρέω, ἀφ᾽ οὗ καὶ τὸ δέος καὶ τὸ χρέος. καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι, ὡς φημί, ἀφ᾽ οὗ τρίτον πρόσωπον χρῆσιν ὡς φησίν, ἐξ οὗ τὸ χρὴ ἐν ἀποκοπῇ ἀπετελεῖτο ὁμοίως τῷ παρὰ Ἀπαικρίοντι

σὲ γάρ φη ταργήλιος ἰμμελέως δισκεῖν.

16 Καὶ τὰ μὲν τῆς φωνῆς οὕτω καταστατέον, τά γε μὴν τῆς συντάξεως τῇδ᾽ ἂν ἀναπληρωθείη. Δοκεῖ ἐνίοτε συντάσσεσθαι διαφόροις προσώποις

καὶ ἀριθμοῖς, ῥῆμα καθ᾽ ἑστὸς ὁριστικὸν ὃ πρὸ οὐ παρείπετο, εἰ μὴν σύνταξιν ἐλάμβανε τῶν προσώπων καὶ τῶν ἀριθμῶν. ἔστι γὰρ τὸ δεῖ ἡμᾶς γράφειν ἔχον σύνταξιν τοῦ δεῖ πρὸς τὸ γράφειν, οὐ πρὸς τὸ ἡμᾶς. καὶ διὰ τοῦτο ἀπάντοτε ἐν τῇ τοιαύτῃ συντάξει οὔτε πρόσωπον διακρίνει οὔτε ἀριθμόν, ἐπεὶ ᾧ συμφέρεται τούτων ἐστὶν ἀπαρέμφατον, καὶ διὰ τοῦτο οὐ συμμετατίθεται τῷ οὐ μετατιθεμένῳ, λέγω δὲ τῷ ἀπαρεμφάτῳ. Ἔστι γὰρ καὶ τὸ δηλούμενον τοιοῦτον. τῶν γοῦν γινομένων πραγμάτων ἐλλιπέστερον ἀποτελουμένων ἡ ἐγγινομένη παράθεσις τῶν προκατειλεγμένων ῥημάτων παρελαμβάνετο εἰς ἐντέλειαν τῶν προσηκόντων. τὸ γὰρ δεῖ φιλολογεῖν τοιοῦτόν ἐστιν, ἐπεὶ λείπει τὸ φιλολογεῖν φιλολογῶμεν, ὡς οὖν καὶ αὐτῷ τῷ λείπει προσχρησαίμεθα, οὐδὲν ἧττον τὰ τῆς συντάξεως ἐνδεῆ καταστήσεται· λείπει τὸ φιλολογεῖν ἡμᾶς, λείπει τὸ φιλολογεῖν ἐμέ, καὶ οὐκ ἔστιν ὅς τις τολμήσει φάναι τὸ λείπει ἐπίῤῥημα, κἂν ἐπειράσις καθ᾽ ἕνα σχηματισμὸν ἀφίρηται ἕνεκα τῆς συνούσης συντάξεως τοῦ ἀπαρεμφάτου. Αὕτη γὰρ καὶ μόνη ἂν εἴη αἰτία τοῦ μὴ ἐν τοῖς ἐπισταλτικοῖς ἀπαρεμφάτοις τὸ χρή ἢ δεῖ παραλαμβάνεσθαι. εἴπομεν γὰρ ἐν τοῖς τοιούτοις ἀπαρεμφάτοις ὑπακουόμενόν ἐστι τὸ ῥῆμα τὸ λέγει ἢ εὔχεται, Διονυσίῳ Ἀπολλώνιος

λέγει χαίρειν ἢ εὔχεται· ἀσύστατον δὲ παραδέξασθαι ἀπαρέμφατον δύο συντάξεις ὁριστικῶν ῥημάτων, ἑνός γε μήν. καὶ διὰ τοῦτό φαμεν θέλει γράφειν ὡς δεῖ γράφειν ἐγκειμένου γε μὴν ἐν τῷ Διονυσίῳ χαίρειν τοῦ λέγει ἢ εὔχεται ἀσύστατον τὸ ἐπεντεθῆναι τὸ χρή ἢ δεῖ, εἰ μὴ ἀποσταίη ἡ ἐπιστολικὴ σύνταξις, ἐφ' ἧς ἂν λοιπὸν φαίημεν δεῖ χαίρειν. ἄλλως τε προσγίνεται τῷ ἐπιστελλομένῳ τὸ χαίρειν, οὐχὶ ἀφίσταται, ὅ περ ἐν τῷ δεῖ χαίρειν ἐγγενήσεται.

230 Ἐξῆς ῥητέον καὶ περὶ τῶν συντασσομένων πτώσεων τοῖς ἀπαρεμφάτοις. Καὶ πρῶτόν γε ἐξεταστέον, εἰ ἀληθεύει τὸ ἐπὶ αἰτιατικὴν αὐτὰ πάντως φέρεσθαι, ὡς ἐν τῷ χρή καὶ δεῖ, χρὴ ἀναγινώσκειν Διονύσιον, καὶ τοῖς τοιούτοις. ἦν μέντοι τὸ ἀληθεῦον τοῦ λόγου, ὡς οὐκ αὐτὰ τὰ ἀπαρέμφατα πάντως αἰτιατικὴν ἀπαιτεῖ, πτῶσιν δὲ τὴν καὶ ἐν τοῖς ὁριστικοῖς καὶ τῇ ὑπολοίπῳ ἐγκλίσει συντασσομένην. ἔστι γὰρ τὰ τοῦ λόγου οὕτως ἔχοντα· τὸ χρή καὶ τὸ δεῖ αἴτια γίνεται αἰτιατικῆς παραθέσεως, καθὸ ῥήματα ὄντα πλαγίαν ἀπαιτεῖ τὴν δέουσαν, καθὸ καὶ ἄλλοις πλείστοις ῥήμασι τὸ τοιοῦτον παρηκολούθει, τὸ ἐπὶ γενικὴν φέρεσθαι ἢ δοτικὴν ἢ αἰτιατικήν. ὥ γὰρ λόγῳ καὶ ἡ τοῦ λείπει σύνταξις πάλιν ἐπ' αἰτια-

τιατικὴν φέρεται, λείπει Δίωνα, λείπει ἐμέ, τούτῳ τῷ λόγῳ καὶ τὸ δεῖ ἐπ' αἰτιατικὴν φέρεται, δεῖ ἐμέ, δεῖ σέ· τοῦτο γάρ ἐστι τὸ κατάλληλον τοῦ λόγου, δεῖ ἐμὲ ἀκούειν. οὐ γάρ, ὡς ἔφαμεν, ἡ τῶν ἀπαρεμφάτων χρῆσις τὸ τοιοῦτον ἀπαιτεῖ· πρόκειται γοῦν ἡ ἐπισταλτικὴ σύνταξις οὐκ οὔσης αἰτιατικῆς πτώσεως. ἀλλὰ καὶ ἐν τοῖς τοιούτοις, τῷ περιπατεῖν ἥδομαι καὶ περιπατεῖν ἐθέλω ἢπερ γράφειν, ἐθέλει κοιμᾶσθαι ἢ περιπατεῖν· ὧν εἴ τις ἀφέλοι τὰ συνόντα μόρια καὶ προσθείη τὸ δεῖ, πάντως ὑπακουσθήσεται καὶ ἡ αἰτιατική, δεῖ περιπατεῖν, χρὴ διαλέγεσθαι. Οὐχὶ οὖν καὶ τὰ ἀπαρέμφατα οἶδεν αἰτιατικήν; Οὐ τὴν ἐν τῷ καθόλου, ἀλλὰ τὴν
240 ἐμφερομένην ἐν ταῖς ὑπολοίποις ἐγκλίσεσι, φιλεῖ Θέωνα, φίλει Τρύφωνα, ἐὰν φιλῇ Τρύφωνα, καὶ οὕτω γίνεται φησὶ φιλεῖν Τρύφωνα. ἔνθεν γὰρ καὶ δύο αἰτιατικαὶ προσγίνονται τῇ τοιαύτῃ συντάξει. γενικῆς μὲν γὰρ καὶ δοτικῆς γίνεται σύνταξις, ὅταν πάλιν καὶ ἡ ὑπόλοιπος ἔγκλισις ἐπὶ γενικὴν φέρηται, ἀκούει Τρύφωνος, ἢ ἐπὶ δοτικήν, δίδωσι Τρύφωνι, καὶ πάλιν ἐπὶ τῶν ἑξῆς ἐγκλίσεων, ἐξ ὧν πάλιν τὰ μεταλαμβανόμενα ἀπαρέμφατα ταὐτὸ ἀναδέχεται, φησὶν ἀκούειν Τρύφωνος, φησὶ διδόναι Τρύφωνι. οἷς εἴ τις προσθείη τὸ δεῖ, ὑφελόμενος ἀναγκαίως τὸ

φησί, καθὼς ἐπεδείξαμεν, πάλιν προσγενήσεται καὶ ἡ αἰτιατική, δεῖ ἀκούειν Τρύφωνος Ἀπολλωνίου, δεῖ ἐρᾶν Θέωνος ἐμέ, δεῖ σοι Τρύφωνα χαρίζεσθαι. κἂν γὰρ ἐπὶ τούτων τὴν αἰτιατικὴν ὑποστέλλειν ἐθέλῃ τις τῇ δευούσῃ συντάξει, ὁμόλογος ἔσται τῇ λειπούσῃ αἰτιατικῇ, εἰ οὕτω φαίημεν, δεῖ σοι χαρίζεσθαι, δεῖ σου ἀκούειν· πάντως γὰρ αἰτιατικὴ ἐστιν ἡ ὑπακουομένη, ἣν ἀπολαβὼν ὁ λόγος τὸ ἑαυτοῦ τέλος παραστήσει, ἐπεὶ εἰ μὴ ἔλιπεν, ἔδει τὸ προσενεχθὲν ὡς ἐν πλεονασμῷ τῆς αἰτιατικῆς καταγίνεσθαι, δεῖ σοι χαρίζεσθαι ἐμέ, δεῖ ἀκούειν σου Δίωνα.

17 Τούτων οὖν τῇδε ἐχόντων, ἐὰν ὡς εἴπομεν τὸ ῥῆμα φύσει φέρηται ἐπ' αἰτιατικήν, λέγω τὸ ἀπαρέμφατον, τὸ τηνικαῦτα καὶ δύο αἰτιατικαὶ προσγίνονται, μία μὲν ἐκ συντάξεως τοῦ δεῖ καὶ χρή, ἑτέρα δὲ ἐκ τῆς τοῦ ἀπαρεμφάτου συντάξεως, ὡς ἔχει τὰ τοιαῦτα, δεῖ Τρύφωνα διδάσκειν Διονύσιον, δεῖ σὲ ἐμὲ τιμᾶν.

Ἔστι καὶ ἑτέρα σύνταξις δύο αἰτιατικὰς ἀποτελοῦσα, ὁπηνίκα καὶ τὰ ἐγκείμενα ῥήματα ἐπ' αἰτιατικὰς φέρεται, οἷον τὸ ἀναγκάσαι, τὸ ποιῆσαι, τὰ ὅμοια· φέρεται γὰρ ἐπ' αἰτιατικήν. ἀλλὰ καὶ τὸ ἐλεῖν, ὑβρίσαι, τὰ τούτοις ὅμοια. ἐφ' ἧς ἂν συντάξεως γένωται, ἀνάγκασόν με ὑβρίσαι σε, ποίησον Τρύφωνα φιλεῖν Ἀπολλώνιον.

Ἐκ δὴ τῶν τοιούτων συντάξεων καὶ τὰ ἀμφίβολα γίνεται. γενικῆς μὲν γὰρ συνούσης ἢ δοτικῆς εὔληπτα τὰ τοῦ λόγου ἐστί, λέγουσι Τρύφωνα ἀκούειν Ἀπολλωνίου, ποίησον Τρύφωνα χαρίσασθαι Ἀπολλωνίῳ· οὐ μὴν ἐν τῷ

δὸς δέ τ' ἐμ' ἄνδρα ἑλεῖν,

συνέβη ἐμὲ φιλεῖν Τρύφωνα· προςνεῦον γὰρ τὸ ἀπαρέμφατον ἀμφοτέραις ταῖς αἰτιατικαῖς οὐκ ἐμφανῆ καθίστησι τὸν ἐνεργοῦντα καὶ τὸν ἐνερ-
18 γούμενον. Τὰ μέντοι τῆς διαλύσεως οὕτως ἂν ἔχοι. εἰ περ ἐκ τοῦ πλουτεῖ Τρύφων, ὑγιαίνει Τρύφων γίνεται μετάληψις φασὶ Τρύφωνα πλουτεῖν, λέγουσι Τρύφωνα ὑγιαίνειν, δῆλον ὡς καὶ ἐπὶ τῶν ὁμοίων ταὐτὸν γενήσεται. ἔστω γάρ τι Θέων ὕβρισε Δίωνα,
242 προδήλου ὄντος τοῦ ὑβρίσαντος καὶ τοῦ ὑβρισθέντος· ἐξ οὗ κατὰ τὴν αὐτὴν διάθεσιν μεταληφθήσεται λέγουσι Θέωνα ὑβρίσαι Δίωνα· καὶ δῆλόν ἐστιν ὡς τὸ ῥῆμα πρόσκειται τῇ πρωτέρᾳ αἰτιατικῇ, ἣ προσέκειτο κατ' εὐθεῖαν, Τρύφων ὕβρισε, λέγουσι Τρύφωνα ὑβρίσαι, ἐπιφερομένου τοῦ διατιθεμένου προσώπου, φέρε εἰπεῖν Δίωνα, Θέωνα. ἐκ δὴ τοῦ τοιούτου ἡ πρωτεύουσα αἰτιατικὴ μετὰ τοῦ ἀπαρεμφάτου προσχωρήσει καὶ τῇ ἐνεργητικῇ διαθέσει. καὶ εἰ ὧδέ τις ἀποφαίνοιτο, περιέχει ὁ οὐρανὸς τὴν γῆν, ἐξ οὗ γενήσεται

λέγουσι τὸν οὐρανὸν περιέχειν τὴν γῆν, καὶ ἀνάπαλιν, περιέχει ἡ γῆ τὸν οὐρανόν, λέγουσι τὴν γῆν περιέχειν τὸν οὐρανόν. κἀκεῖνο γὰρ ὁμόλογόν ἐστιν, ὅτι ἡ ἐνεργητικὴ διάθεσις προτέρα τῆς παθητικῆς· τότε γὰρ πέπονθεν, ὅτε καὶ ἀναδέδεκται τὴν ἐνεργητικὴν διάθεσιν, ὥς γε καὶ τὰ τούτων ἀποφατικὰ ὁμολογεῖ. ὁ γὰρ λέγων οὐκ ἔδειρα ἀναιρεῖ τὴν προκατάρξασαν διάθεσιν τοῦ ὁμολογήσαντος προςώπου τὴν παθητικὴν διάθεσιν ἐν τῷ δαρῆναι. καὶ εἰ τοῦτο ὑγιές, εὔλογον ἂν εἴη τὸ προςχωροῦν ῥῆμα τῇ αἰτιατικῇ τὴν ἐνεργητικὴν διάθεσιν ἐμφανίζειν, καὶ τὴν δευτέραν παραλαμβανομένην αἰτιατικὴν ἐν πάθει καταγίνεσθαι, ἐπεὶ καὶ δεύτερα τὰ πάθη τῶν ἐνεργειῶν ἐστί, συνέβη ἐμὲ φιλεῖν Ἀπολλώνιον· τοιοῦτο γὰρ ἂν εἴη, ἐγὼ φιλῶ Ἀπολλώνιον. καὶ δῆλον ὅτι τὸ τοιοῦτο ὑπερβατόν ἐ-

243 στι, τὸ

δὸς δέ τ' ἔμ' ἄνδρα ἑλεῖν,

τόνδε τὸν ἄνδρα. Καὶ τοσαῦτα μὲν περὶ συντάξεως τῶν ἀπαρεμφάτων.

19 Ἀκολούθως ῥητέον καὶ περὶ τῶν ὑπολοίπων ἐγκλίσεων, αἷς παρέπεται ἀπὸ τῶν ἐν αὐταῖς δηλουμένων πραγμάτων τὴν θέσιν τοῦ ὀνόματος ἀναδέδεχθαι. Ἡ μὲν γὰρ καλουμένη ὁριστικὴ καλεῖται καὶ ἀποφαντική. καὶ δῆλον ὅτι κοινῆς μὲν ἐννοίας εἶχετο καλεῖσθαι αὐτὴν

ἀποφαντικήν, εἴ γε καὶ τὸ ἀποφαίνεσθαι κατὰ πάσης φράσεως παραλαμβάνεται, ἀλλὰ καὶ ἐπιῤῥήματά τινα ἀποφαντικὰ καλοῦμεν ἰδίας μέντοι ἐννοίας ἔχεται ἡ ὁριστική· διὰ γὰρ ταύτης ἀποφαινόμενοι ὁριζόμεθα. Ἔνθεν γὰρ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι καὶ ἔτι αἰτιολογικοὶ συντείνουσιν ἐπὶ ταύτην. ὁριζόμενοι γάρ φαμεν γέγραφα, καὶ ἐπιδιαβεβαιούμενοι ὅτι γέγραφα εἰς ἐπίτασιν τοῦ ὁρισμοῦ· πρὸς ὃ ἀνθυπάγεται πάλιν τούτου ἐναντίον κατὰ ἀπόφασιν ὅτι οὔ. ἀλλὰ καὶ ἐπὶ αἰτιολογικῆς ἐννοίας. ὡς γὰρ καταφασκομένου τοῦ περιπατῶ ἐπὶ λήμματι τῷ τοιούτῳ τὸ αἰτιῶδες συνταχθήσεται, ὅτι περιπατῶ κινοῦμαι· ὃ περ οὐκ ἀληθεύσει, εἰ ἀναστροφὴν λάβοι τὰ τοῦ λόγου, ὅτι κινοῦμαι περιπατῶ. καὶ δῆλον ὅτι οὐ διὰ τὸν ὁρισμὸν τὸν ἐγκείμενον τοῖς ῥήμασι, διὰ δὲ τὸ ἀκόλουθον τὰ ἐκ τοῦ
244 συνδέσμου ἐγγινόμενον, ἐπεὶ ὅσον ἐπ' αὐτοῖς τὰ ῥήματα κατ' ἰδίαν τασσόμενα διὰ τὸν ἐγκείμενον ὁρισμὸν ἀληθεύει, κινοῦμαι, περιπα-
20 τῶ. Σαφὲς οὖν ὅτι καὶ ἐγκειμένην ἔχει τὴν κατάφασιν. καὶ ἕνεκα τούτου τὸ καλούμενον ἀποφατικὸν ἐπίῤῥημα, ὡς ἂν μαχόμενον τῇ ναί καταφάσει, ἐπιτρέχει τὴν ὁριστικὴν ἔγκλισιν, ἵνα τὴν ἐγκειμένην κατάφασιν ἀποστήσῃ, οὐ γράφει, οὐ περιπατεῖ, οὐ μὴν ἔτι τὴν εὐκτικὴν ἢ προστακτικήν· οὐδὲ γὰρ ἔγκειται ἐν ταῖς

τοιαύταις ἐγκλίσεσιν ἡ μαχομένη τῇ ἀποφάσει κατάφασις, ἣν ὡς προείπομεν συνέβη ἀναιρεῖσθαι ὑπὸ τῆς οὐ ἀποφάσεως. διότι μέντοι ἡ μὴ ἀπαγόρευσις ἐπὶ τὰς προειρημένας ἐγκλίσεις συντείνει, ἐν τῷ περὶ αὐτῶν εἰρήσεται· φαμὲν γὰρ μὴ γίνωσκε, μὴ γνοίης, μὴ γνῷς. Χρὴ μέντοι νοεῖν ὅτι οὐδὲ ἐπὶ τὴν ἀπαρέμφατον συντείνει ἡ οὐ ἀπόφασις· οὐδὲ γὰρ δι' αὐτῆς τι καταφάσκεται. ἐν γὰρ τῷ οὐ δεῖ γράφειν πάλιν τὸ ὁριστικόν ἐστι ῥῆμα τὸ ἀποφασκόμενον, λέγω τὸ δεῖ ἢ χρή, ὡς εἰ καὶ λέγοιμεν οὐ λείπει τὸ φιλολογεῖν. καὶ διὰ τῆς τοιαύτης συντάξεως ἄρα δέδεικται ὅτι τὸ χρὴ καὶ τὸ δεῖ ὁριστικὰ ῥήματά ἐστιν. Ὁμόλογον δ' ὅτι καὶ ἡ καλουμένη ὑποτακτικὴ ἔγκλισις, συνηρτημένη οἷς ὑποτέτακται, τὴν ἐκ τούτων δύναμιν ἀναδεξαμένη ἀπροσδεὴς γενήσεται τῆς οὐ ἀποφάσεως. μετὰ γοῦν τὴν τούτων σύνταξιν οἷόν τε πάλιν ἐστὶν αὐτὴν ἀποφαίνεσθαι, ἐὰν θέλῃς οὐκ ἀναγινώσκω ἢ οὐκ ἀναγνώσομαι, καὶ μάλιστά γε ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος· διότι γὰρ οἱ παρωχημένοι οὐ παραλαμβάνονται ἐν ὑποτακτικοῖς, ἐν τῷ ἰδίᾳ περὶ αὐτῶν εἰρήσεται. Ἡ δὴ οὖν προκειμένη ὁριστικὴ ἔγκλισις τὴν ἐγκειμένην κατάφασιν ἀποβαλοῦσα μεθίσταται καὶ τοῦ καλεῖσθαι ὁριστική. εἰς γὰρ ἐπερώτησιν τῶν πραγμάτων ἐγχωρεῖ, νίκα φαμὲν γέγραφας; λε-

λάληκας; καὶ εἰ μὲν μὴ εἴη τὸ τοιοῦτον ἀληθές, φαμὲν οὔ· εἰ δὲ ἀληθὲς εἴη τὸ γεγραφέναι, φαμὲν ναί. καὶ γίνεται οὕτως ἡ ἐπερώτησις. ἀναπληρωθεῖσα δὲ διὰ τῆς καταφάσεως ὑποστρέφει εἰς τὸ εἶναι ὁριστική. καὶ μεγίστη ἂν εἴη ἔνδειξις τοῦ τοιούτου τὸ ἔσθ' ὅτε τῷ ναὶ μὴ χρῆσθαι μορίῳ, ῥήματι δὲ τῷ αὐτῷ δι' ὁριστικῆς προφορᾶς, ὡς ἂν ἐγκειμένης τῆς καταφάσεως· πρὸς γὰρ τὸ γράφεις κατ' ἐπερώτησίν φαμεν γράφω ἢ κατὰ βεβαίωσιν τοῦ ὁρισμοῦ, δυνάμει διπλασιάσαντες τὴν κατάφασιν, ναὶ γράφω. οὕτως ἔχει· καὶ τὸ

ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν εἶπες,

οὐκ ἀλόγου τοῦ τοιούτου ὄντος, εἴ γε ἐν τοῖς προκειμένοις παρεστήσαμεν ὅτι πολλάκις τὰ ἰσοδυναμοῦντα παραλλήλως τίθεται εἰς πλείονα ἔμφασιν, ὡς τὸ τάχιον περιπατεῖ καὶ μᾶλλον τάχιον περιπατεῖ.

22 Ὁμοίως δὲ καὶ ἡ εὐκτικὴ ἔγκλισις ἀπὸ
264 τῆς γινομένης εὐχῆς κατὰ παραγωγὴν τῆς κλίσεως ἔτυχεν. Εἰσὶν οὖν τῆς εὐχῆς ἐπιρρήματα παραστατικά,

αἴθ' ἐγώ, χρυσοστέφαν' Ἀφροδίτα,
τόνδε τὸν πάλον . . . . λαχοίην·
αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσειε Ἀγαμέμνων·

καὶ μή ποτε τὰ τῆς συντάξεως δέξῃ κατὰ πα-

ρολκὴν ἔχειν τὰ συνόντα ἐπιῤῥήματα, καθὸ ἡ ἔγκλισις δυνάμει ἐγκείμενον ἔχει τὸ εἴθε. ἐπὶ μὲν γὰρ τοῦ εἴθε ἔγραψε Τρύφων, εἴθε ἐλάλησε καὶ ἔτι τῶν τοιούτων δῆλον ὅτι ἐν τῷ δέοντι παράκειται τὸ εἴθε, ἵνα ἡ ὁριστικὴ ἔγκλισις διὰ τοῦ παρακειμένου εὐκτικοῦ ἐπιῤῥήματος εὐκτικὴν σύνταξιν ἀναδέξηται· δῆλον γὰρ ὡς διαφέρει τὸ ἔγραψε Τρύφων τοῦ εἴθε ἔγραψε Τρύφων. ἀλλὰ σαφὲς ὅτι εἰς πλείονας ἐπιτάσεις τῶν σημαινομένων αἱ τοιαῦται παραθέσεις γίνονται, ὡς παρεστήσαμεν καὶ ἐπὶ τοῦ ναὶ γράφω καὶ ἄλλων πλειόνων.

23 Χρὴ μέντοι νοεῖν ὡς διαφέρει ἡ ἐκ τῶν ῥημάτων εὐκτικὴ ἔγκλισις τῆς ἐπιῤῥηματικῆς τῷ τὰ μὲν ῥήματα μετὰ τοῦ συνόντος πράγματος σημαίνειν τὴν εὐκτικὴν διάθεσιν· τὸ γὰρ γράφοιμι
247 εὐχή ἐστι πράγματος τοῦ γράφειν καὶ τὸ φιλολογοῖμι τοῦ φιλολογεῖν, τό γε μὴν εἴθε σχεδὸν ὄνομά ἐστιν εὐχῆς· οὐ γὰρ συμπαρίσταται καὶ τὸ ἐν τίνι τὰ τῆς εὐχῆς. Τὸ τοιοῦτον καὶ ἐπ' ἄλλων πλείστων παρεπόμενον ἔστιν ἐπιδεῖξαι. τὸ λευκότερος ἐπιτέταται εἰς τὴν τοῦ λευκοῦ ποιότητα καὶ ἔτι τὸ γλυκύτερος εἰς τὴν τοῦ γλυκέος· κοινῆς μέντοι ἐπιτάσεως ὀνόματά ἐστι τὰ τοιαῦτα, βέλτιων, ἄριστος, ἀμείνων. ἀλλ' εἰ καὶ τὰ τοιαῦτα ἔχεταί τινος ἐννοίας, ἀφ' ἧς καὶ τὴν ὀνομασίαν εἴληφε, καὶ τροπικώτερον μετῆλθεν εἰς κοινὴν ἐπίτασιν, ὡς τὸ

ἁλιεύς, κἂν ποτάμιος ᾖ, καὶ ἡ πυξίς, κἂν διαφόρου ὕλης τύχῃ, ἐκεῖνο μέντοι ὁμόλογόν ἐστιν, ὡς τὸ εἷς διαφέρει τοῦ Αἴας, ἢ αὐτὸ μόνον ὄνομά ἐστιν ἀριθμοῦ τὸ εἷς, τὸ δὲ Αἴας μετὰ ἰδίας ποιότητος παρυφιστάμενον ἔχει τὸ εἷς. καὶ ἔτι τὸ ἐγώ πρὸς τὸ γράφω, καθὸ μετὰ πράγματος καὶ τῶν συμπαρεπομένων τὸ γράφω ἐγκείμενον ἔχει τὸ ἐγώ, αὐτή γε μὴν ἡ ἀντωνυμία αὐτὸ μόνον ὄνομά ἐστι προσώπου. ἔτι καὶ τὸ Ἰλιόθεν διαφέρει τοῦ ἄλλοθεν, καθὸ τὸ μὲν Ἰλιόθεν μετὰ τῆς ἐκ τοῦ τόπου σημασίας συμπαρίστησι καὶ τὸ ἴδιον τοῦ τόπου, τό γε μὴν ἄλλοθεν αὐτὸ μόνον παρίστησι τὴν ἐκ τόπου σχέσιν. ἔτι καὶ τὸ τάχιστος μετά τινος ὑποκειμένου τὴν ἐπίτασιν σημαίνει, οὐ μὴν τὸ ἄγαν· αὐτὸ γὰρ μόνον ὄνομα ἐπι-
248 τάσεώς ἐστιν. οὕτως ἔχει καὶ τὸ γράψον ὡς πρὸς τὸ ἄγε· πάλιν γὰρ μόνον ὄνομα προστάξεώς ἐστι τὸ ἄγε, τὸ δὲ γράψον μετὰ τῆς ἐγκειμένης προστάξεως καὶ τὸ πρᾶγμα ὑπαγορεύει καὶ τοὺς συνόντας ἀριθμούς, ἔτι καὶ τὰ πρόσωπα. ἔστι πλεῖστα εἰς τὸ τοιοῦτο παραθέσθαι. Τό γε μὴν

αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι

καὶ τὸ

ὡς ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσι

ναίειν, Πηλεὺς δὲ θυητὴν ἀγαγέσθαι ἄκοιτιν

οὐ χρὴ παραλαμβάνειν εἰς τὸν τῶν παραλλήλων λόγον· ἰδοὺ γὰρ ἐκ τοῦ ὠφελον παρυφίσταται καὶ προσώπου διάκρισις, ἡ τις οὐ σύνεστι τῷ εἴθε. καὶ δῆλον ὅτι ἕνεκα τοῦ τοιούτου τὸ μὲν εἴθε συντάσσεται εὐκτικοῖς, οἷς σύνεστι τὸ διακρῖναι πρόσωπον,

αἴθ' οὕτως, Εὔμαιε, φίλος Διὶ πατρὶ γένοιο·

αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσει Ἀγαμέμνων·

ἀλλὰ παρεστήσαμεν ὡς καὶ ὁριστικοῖς ἐν τῷ εἴθ' ἔγραψε Τρύφων· οὐ μὴν τοῖς ἀπαρεμφάτοις, ἐπεὶ καὶ διὰ τοῦ ἐπιῤῥήματος καὶ διὰ τοῦ συνόντος ἀπαρεμφάτου ἄδηλον ποίῳ προσώπῳ τὰ τῆς εὐχῆς ἐπιγίνεται. ὅθεν εἰς ἀναπλήρωσιν τοῦ λείποντος τὸ ὤφελον παραλαμβάνεται εἰς ἐμφανισμὸν προσώπου ᾧ τὰ τῆς εὐχῆς περιγίνεται· ἐν γὰρ τῷ

αἴθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι

νοεῖται ὁ Ἀχιλλεύς, πρὸς ὃν ἡ ἀπόστασις τοῦ λόγου, οὐκ ἐξ ἄλλου του ἢ τοῦ ὤφελες. Καὶ τοσαῦτα μὲν περὶ συντάξεως τοῦ εἴθε καὶ τῶν ὁμοίων αὐτῷ.

24 Ἤδη μέντοι καὶ περὶ τῆς ἐγγινομένης χρο-

νικῆς διαθέσεως ἐν τῇ ἐγκλίσει διαποροῦσί τινες, ὡς μάτην εἰςκυκλεῖται ἡ τῶν παρῳχημένων χρόνων φωνὴ κατὰ ἔγκλισιν, ὡς οὐ δυναμένου τοῦ τοιούτου συστῆναι, καθὸ καὶ ἐπ' ἄλλων μερῶν λόγου δηλουμένου παρέμπτωσις ἡ αἰτία γίνεται τοῦ μὴ συνίστασθαι σχήματά τινα τῆς λέξεως. ἐν ῥήμασιν ἡ τοῦ πλουτῶ ἢ ὑπάρχω ἢ τινος τῶν τοιούτων παθητικὴ ἐκφορά, καὶ ἐπὶ τοῦ μάχομαι ἡ ἐνεργητική· καὶ ἐν γένεσι καθὸ οὔτε τοῦ ἐκτρώσασα τὸ ἄῤῥενικόν τις ζητήσει, οὔτε τοῦ ἄρσην τὸ θηλυκόν. καὶ ἦν εἰς τὸ τοιοῦτο παράθεσις δυσπερίληπτος. καὶ δὴ οὖν ἐπὶ τοῦ προκειμένου ἐκεῖνό φασιν· εἰ ἐν τοῖς οὐκ οὖσιν αἱ εὐχαὶ γίνονται εἰς τὸ ἐγγενέσθαι, πῶς τὰ γενόμενα εὐχῆς ἔτι δέεται; Πρὸς ὃ ἔστι φάναι ὡς πᾶσα ἀνάγκη ὑπάρξαι καὶ τὴν ἐκ παρῳχημένου εὐχήν. φέρε γὰρ τὸν ἐπιβάλλοντα χρόνον τοῦ γενομένου ἀγῶνος Ὀλυμπιάσι παρῳχῆσθαι, καὶ πατέρα εὔχεσθαι ὑπὲρ παιδὸς ἀγωνισαμένου περὶ τῆς τούτου νίκης· καὶ δῆλον ὡς οὔτε ποιήσεται εὐχὴν διὰ τῆς τοῦ ἐσομένου χρόνου οὔτε μὴν τοῦ κατὰ τὸν ἐνεστῶτα παρατεινομένου — τὰ γὰρ τοῦ παρῳχημένου ἀντίκειται —, ἐξ οὗ ἂν ἀκόλουθος γένοιτο ἡ εὐχὴ εἴθε νενικήκοι μου ὁ παῖς, εἴθε δεδοξασμένος εἴη. Ἔστι καὶ οὕτω φάναι, ὡς ἀληθεύει ὅτι ἐπὶ τοῖς μὴ συνοῦσιν αἱ εὐχαὶ γίνονται· οὐ συνόντος γὰρ τοῦ

φιλολογεῖν φαίημεν ἂν φιλολογοῖμι, οὐ συνόντος τοῦ πλουτεῖν τὸ πλουτοῖμι· χρὴ μέντοι νοεῖν ὡς τὸ ἐξαιτούμενον ἐκ τοῦ εὐκτικοῦ ἢ εἰς παράτασιν τοῦ ἐνεστῶτος παραλαμβάνεται, ἵνα ἐν αὐτῷ διαγίνηται, ὡς εἴ τις φαίη ζώοιμι ὦ θεοί, ἢ εἰς τελείωσιν τῶν μὴ ὄντων πραγμάτων, ὡς ὁ Ἀγαμέμνων εὔχεται, εἴθε ὦ θεοὶ πορθήσαιμι τὴν Ἴλιον· εὐχὴ γὰρ νῦν γίνεται εἰς τὸ παρῳχημένον καὶ συντελὲς τοῦ χρόνου. τὴν γὰρ παράτασιν ἀπευκταίαν ἕξει· πορθοῦντι γὰρ αὐτῷ τὴν Ἴλιον

ἐννέα δὴ βεβάασι Διὸς μεγάλου ἐνιαυτοί,
καὶ δὴ δοῦρα σέσηπε νεῶν καὶ σπάρτα λέλυνται.

καθότι πάλιν κατὰ τὸ ἐναντίον ἔστιν ἐπινοῆσαι ἐπὶ τοῦ ζώοιμι. οὐ γὰρ δή γέ τις παραλήψεται εἰς εὐχὴν τὴν τοῦ ζῆν συντέλειαν ἐν τῷ ζήσαιμι· ἡ γὰρ τοιαύτη συντέλεια τῆς εὐχῆς δυνάμει περιγράφει τὴν τοῦ βίου διατριβήν.

Τὸ αὐτὸ ἄπορον μέτεισι καὶ ἐπὶ τὰ προστακτικά. πάλιν γὰρ τὰ οὐ γενόμενα προστάσσεται, καὶ ἀληθὲς ὅτι τὰ παρῳχημένα γέγονε· καὶ κατὰ ταὐτὸν οὐ χρὴ παρῳχημένου χρόνου προστακτικὸν παραλαμβάνειν. Καὶ ἔστι γε πάλιν ἐπὶ τῶν τοιούτων ταὐτὸν φάναι, ὅτι διαφέρει τὸ κλειέσθω ἡ θύρα τοῦ κεκλείσθω,

καθὸ ἡ μὲν κατὰ τὸν ἐνεστῶτα ἐκφορὰ ὑπαγορεύει τὴν ὑπόγυιον πρόσταξιν, ὅ περ ἐνεστῶτος τοῦ παρατεινομένου ἦν ἴδιον, τό γε μὴν κεκλείσθω τὴν ἔκπαλαι ὀφείλουσαν διάθεσιν γενέσθαι. ἀλλὰ καὶ εἴπομεν ὡς ἃ μὲν προστάσσεται αὐτῶν εἰς παράτασιν. ὁ γὰρ ἀποφαινόμενος οὕτω, γράφε, σάρου, σκάπτε, ἐν παρατάσει τῆς διαθέσεως τὴν πρόσταξιν ποιεῖται, ὡς ἔχει καὶ τὸ

βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι·

φησὶ γὰρ ἐν τῷ πολέμῳ καταγίνου εἰς τὸ βάλλειν. ὅ γε μὴν λέγων κατὰ τὴν τοῦ παρωχημένου προφορὰν γράψον, σκάψον, οὐ μόνον τὸ μὴ γενόμενον προστάσσει, ἀλλὰ καὶ τὸ γινόμενον ἐν παρατάσει ἀπαγορεύει, εἴ γε καὶ τοῖς γράφουσιν ἐν πλείονι χρόνῳ προσφωνοῦμεν τὸ γράψον, τοιοῦτόν τι φάσκοντες, μὴ ἐμμένειν τῇ παρατάσει, ἀνύσαι δὲ τὸ γράφειν.

25 Τὰ δεύτερα πρόσωπα τῶν προστακτικῶν πρόδηλον ἔχει τὴν σύνταξιν, κἂν ὁμόφωνα καθεστήκῃ τῇ ὁριστικῇ ἐγκλίσει· ἡ γὰρ συνοῦσα αὐτοῖς κλητικὴ ἀφίστησι τὴν ἀμφιβολίαν τὴν πρὸς τὸ ὁριστικόν, καὶ τὸ σύνταγμα ἐπίρρημα, λέγω δὴ τὸ ἄγε, ὡς γε ἐν τοῖς ἑξῆς παραστήσομεν. τὰ γὰρ τρίτα καὶ τῇ φωνῇ ἰδιάσαντα οὐδὲ κατ' ὀλίγον ἀμφιβάλλεται. Τά γε μὴν τοῦ πρώτου προσώπου πρός τινων οὐδὲ

παραλαμβάνεται, λόγοις τοιούτοις. κεχωρίσθαι φασὶ δεῖν τὸν προστάσσοντα τοῦ προστασσομένου, ὅ περ οὐκ ἔστιν ἐπινοῆσαι ἐν πρώτῳ προσ-
25a ὤπῳ· ἔστι γὰρ πρῶτον τὸ ὑπὲρ ἑαυτοῦ ἀποφαινόμενον, δεύτερον δὲ τὸ πρὸς ὃ ἡ ἀπόστασις ὑπὲρ αὐτοῦ τοῦ προσφωνουμένου, εἰς ὃ καὶ ἐγχωρεῖ ἡ ἔγκλισις ἐν τῷ φεῦγε, λέγε, γράφε. ἀλλὰ κἀκεῖνο δῆλόν ἐστιν, ὡς αἱ κλητικαὶ ἐν δυσὶ προσώποις καταγίνονται, τῷ τε προσκαλοῦντι καὶ τῷ προσκαλουμένῳ· καὶ διὰ τοῦτο τῶν κατὰ τὸ πρῶτον πρόσωπον ἀντωνυμιῶν κλητικαὶ οὐκ ἦσαν, τῶν γε μὴν πάλιν κατὰ τὸ δεύτερον. σαφὲς οὖν ὅτι καὶ τῆς τοιαύτης συντάξεως δείκνυται ὡς πρώτου προσώπου οὐκ ἔστι προσακτικά· τὴν γὰρ ἐκ κλητικῆς σύνταξιν ἀναδέχονται, ἥ τις ἐδέδεικτο ἀσύστατος κατὰ τὸ πρῶτον πρόσωπον· καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαι ἑαυτόν τινα προσκαλούμενον διὰ τὸ ἀχώριστον τοῦ προσώπου, οὕτως οὐδὲ ἑαυτῷ προστάσσοντα διὰ τὸ ἀχώριστον τοῦ προσώπου· πᾶν γὰρ προστακτικὸν ἐκ προσώπου ἐπικρατοῦντος συνέστηκεν ὡς πρὸς ἐπικρατούμενον. Οἱ γε μὴν παραδεχόμενοι τὴν ἐν πρώτοις προσώποις ἐπιγινομένην πρόσταξιν, οὐκ ἀνασκευάσαντες τοὺς προκειμένους λόγους, παρατίθενται ὡς προσακτικὰ ἐν τῇ χρήσει,

φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν,

ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων,
καὶ ἅπαντα κατὰ τὴν κοινὴν χρῆσιν οὕτω λεγόμενα. ἐξ ὧν πειρῶνται καὶ τὰ ἐνικὰ παραλαμβάνειν· ὃν γὰρ τρόπον τῶν δευτέρων πληθυντικῶν ἡ παραλήγουσα ἀποβάλλουσα τὴν
253 τε λήγουσα γίνεται τῶν ἑνικῶν, λέγετε λέγε, νοεῖτε νόει, τὸν αὐτὸν δὴ τρόπον καὶ τῶν πρώτων ἡ παραλήγουσα ἀποβαλοῦσα τὴν μεν καταστήσει τὸ ἑνικὸν προστακτικόν, φέρωμεν φέρω, ἀριθμήσωμεν ἀριθμήσω. καὶ οὐ ξένον εἰ ὁμοφωνεῖ ταῖς ὁριστικαῖς φωναῖς, ὅπου γε καὶ ἡ ἐν δευτέροις προσώποις ὁμοφωνία ἐγγίνεται. πρόδηλον ἐκ τῆς συντάξεως τῆς ἄγε λέγωμεν, ἄγε φέρωμεν, ἧς τὸ ἑνικὸν γενήσεται φέρε λέγω, φέρε ἀριθμήσω. τὸ γοῦν δεύτερον πρόσωπον τῆς ὁριστικῆς ἐγκλίσεως, οὐ συνεμπίπτον τῇ προστακτικῇ ἐγκλίσει, οὐδὲ τὴν τούτων σύνταξιν ἀναδέχεται· τίς γὰρ ἂν φαίη φέρε λέγεις ἢ φέρε ἀριθμήσεις; οὕτω δ' ἔχει κἀκεῖνο

ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι·
ἀλλ' ἄγ' ἐγών, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι,
ἐξείπω.

26 Ἐμοί γε μὴν δοκεῖ τὰ τῆς ἐγκλίσεως ἐπιτεταράχθαι, ἐπεὶ σχεδὸν ἐγκλίσεις δύο συνωθοῦσιν εἰς μίαν ἔγκλισιν. ἔχει δὲ τὰ τῆς ἀπο-

δείξεως τῆδε. Δέδοται ὅτι οὐ προσκαλούμεθα ἑαυτούς, οὐδὲ μὴν προστάσσομεν ἑαυτοῖς, καθ' ἣν εἴπομεν ἔννοιαν τῶν προσταχτικῶν. ὑποτιθέμεθα μέντοι ἑαυτοῖς, ὡς γε ἔχει ἐπὶ τοῦ Διός. ἐν γὰρ πολλαῖς ὑποθήκαις ἐγγενόμενος καὶ μίαν ἀρίστην ὑπονοήσας τοιοῦτό τι εἶπε,

πέμψω ἐπ' Ἀτρείδῃ Ἀγαμέμνονι οὖλον ὄνειρον·

οὐ πάλιν ἡ μεταλήψις γενήσεται εἰς ἀπαρέμφατον κατὰ τὸ διηγηματικόν,

πέμψαι ἐπ' Ἀτρείδῃ· Ἀγαμέμνονι οὖλον ὄνειρον·

ἀπὸ δὴ τοῦ τοιούτου ἐνικοῦ μετῄει καὶ πληθυντικὸς ἀριθμός, ἐπισπώμενος τὴν ἐκ δευτέρων καὶ τρίτων προσώπων σύλληψιν, πέμψωμεν, ἀριθμήσωμεν· ὃν μάλιστα καὶ εὔχρηστον ὑπολαμβάνω καθίστασθαι ὡς πρὸς τὰ ἐπικρατοῦντα πρόσωπα, εἴ γε σύνταξιν ἐπικρατουμένων προσώπων ἄντικρυς οὐκ ἀναδέχεται. εἴπομεν γὰρ ὡς τὰ προσταχτικὰ ἐξ ἐπικρατούντων ἐστὶ προσώπων καὶ ἐξ ἐπικρατουμένων, ἃ καὶ τὴν πρόσταξιν ἀναδέχεται τοῦ πράγματος. ἵν' οὖν ἐκκλίνῃ τὴν ἐν δευτέροις προσώποις γινομένην πρόσταξιν, σύλληψιν ἀναδέχεται τὴν εἰς τὸ πρῶτον, ἤ τις κατὰ τὸ ἐνικὸν ἐδείχθη ὑποθετική. καὶ δῆλον ὅτι τῇ ἐπικρατείᾳ τῇ κατὰ τὸ πρῶτον καὶ τὰ συγγενόμενα πρόσωπα

τῆς

τῆς αὐτῆς ἐγκλίσεως ἐτύγχανε. τοιοῦτο γάρ ἐστι καὶ τὸ πρὸς Σθενέλου εἰρημένον

ἀλλ' ἄγε δὴ χαζώμεθ' ἐφ' ἵππων,

ἵνα μὴ τῷ ὑπερέχοντι προσώπῳ προσταξῃ ἐν τῷ χάζου. τοιοῦτό ἐστι καὶ τὸ πρὸς Νέστορος εἰρημένον

ἀλλ' ἄνδρας κτείνωμεν·

ἑαυτὸν γὰρ συλλαβὼν προθυμοτέρους καθίστησι τοὺς Ἕλληνας εἰς τὸν κατεπείγοντα πόλεμον. Οὐ δὴ οὖν δεύτερα καὶ τρίτα ὑπολαμβάνω πρόσωπα εἶναι τῶν τοιούτων ὑποθετικῶν
253 ἵνα γὰρ μὴ γένηται δεύτερον, πρῶτον ἐγένετο καθ' ἣν εἴπομεν σύλληψιν τῶν ἐνικῶν. ἔστι καὶ διὰ τῆς φωνῆς τὸ τοιοῦτον παραστῆσαι. πάσης ἐγκλίσεως τὰ δεύτερα πρόσωπα πληθυντικὰ εἰς τὰ λήγοντα ἰσοχρονεῖ κατὰ τὴν παραλήγουσαν τοῖς πρώτοις, λέγομεν λέγετε, λέγομεν λέγετε. διὰ τοῦτό φαμεν τῷ ῥίπτοῦμεν παραπεῖσθαι τὸ ῥίπτεῖτε, τῷ δὲ ῥίπτομεν τὸ ῥίπτετε. περισσὸν ὑποδέγμασι χρῆσθαι καθολικοῦ ὄντος τοῦ λόγου. πῶς οὖν καὶ κατὰ τὸν λόγον τῆς φωνῆς παραπείσεται τῷ φεύγετε τὸ φεύγομεν; τὰ εἰς θε λήγοντα μιᾷ ἐνδεῖ συλλαβῇ τῶν εἰς θα ληγόντων κατὰ πᾶσαν ἔγκλισιν· οὐκ ἄρα καὶ κατὰ τὸ τοιοῦτον τὸ πεποιηκώμεθα παραπείσεται δευτέρῳ τῷ πεποίησθε. Φαίνεται οὖν ὅτι τὸ λεῖπον τῶν προστακτικῶν προσώπων, λέγω τὸ πρῶτον, καὶ τὰ

λείποντα τῶν ὑποθετικῶν δεύτερα καὶ τρίτα εἰς ἕνωσιν ἄγει τὸ τὰς δύο ἐγκλίσεις παραλαμβάνεσθαι, ἵν' ἑκατέρα ἀνταναπληρωθῇ τοῦ λείποντος, τῶν ἐγκλίσεων καὶ κατὰ τὸ σημαινόμενον συντρεχουσῶν. Εἰ δέ τινες προσβιάσονται καὶ ἐν δευτέροις προσώποις καταγίνεσθαι τὰ ὑποθετικὰ καθ' ὁμοφωνίαν τὴν πρὸς τὰ προστακτικά, ἐκεῖνο ἂν φαίημεν, ὡς συνοῦσα ἡ διὰ τοῦ ἄγε σύνταξις ἐξαίρετον καταστήσει τὴν προστακτικὴν ἔγκλισιν· προφανῶς γὰρ τὸ ἐγκελευστικὸν ἐπίρρημα ἐπέτεινε τὴν πρόσταξιν.

27 256 Ἐχομένως ῥητέον καὶ περὶ τῶν κατὰ τὸ τρίτον πρόσωπον προστακτικῶν, ἃ δὴ καὶ αὐτὰ δευτέρου προσώπου φασὶν εἶναι, διαφέρειν δὲ τῶν προκειμένων, καθὸ ἐκεῖνα μὲν αὐτόθεν τὴν πρόσταξιν τοῦ πράγματος παραδέχεται, ταῦτα δὲ ἐγκελεύεται εἰς ἑτέρων προσώπων πρόσταξιν. τὸ γὰρ λεγέτω καὶ τὰ ὅμοια σαφὲς ὅτι καὶ τὰς ἐγκελεύσεις ἔχει διττάς, τήν τε ἐν δευτέρῳ καταγινομένην καὶ τὴν ἐξ αὐτοῦ εἰς τρίτον μετιοῦσαν, καθά περ ἔστιν ἐπινοῆσαι καὶπὶ τῶν μονοπροσώπων ἀντωνυμιῶν· ἡ μὲν γὰρ ἐγώ καὶ αἱ σύζυγοι καὶ ἅπαξ ἐνικῶς νοούμεναί εἰσι καὶ ἓν πρόσωπον ὑπαγορεύουσιν, ἡ γε μὴν ἐμός καὶ δὶς ἐνικῶς νοεῖται καὶ δύο πρόσωπα παρεμφαίνει. ἴσως δὲ καὶ ἡ ὀρθοτονουμένη ἀντωνυμία, κἂν ἁπλῆ ᾖ, διὰ τῆς ἐπι-

οὐσης διαστολῆς τὸ δισσὸν πρόσωπον ὑπαγορεύει, καὶ τὰ συγκριτικὰ καὶ τὰ πρός τι ἅπαντα. καὶ δὴ οὖν τὸ λεγέτω δεύτερον καὶ τρίτον ὑπαγορεύει. Ἀλλ' ἔστι γε πρὸς ταῦτα φάναι ὡς οὐ ψεῦδός μέν ἐστι τὸ παρεμπίπτειν δισσὸν πρόσωπον, οὔτε μὴν ὅτι ἐν δευτέρῳ προσώπῳ κατηγόρηται, οὔτε μὴν ἐξαιρέτως ἐπὶ τῶν προστακτικῶν τὸ τοιοῦτον ἐγχωρήσει· πολὺ γὰρ πρότερον καὶ ἐπὶ τῆς ἐριστικῆς ἐγκλίσεως τὸ τοιοῦτον ἂν παρέποιτο. ἀποφαινόμεθα γὰρ καὶ πρός τινας περί τινων ὀρθῶς διαλέγεται Τρύφων, ἡμέρα ἐστί· καὶ οὐ πάντως τὰ
257 τοιαῦτα, ὅτι πρός τινά ἐστι, καὶ δευτερᾷ εἰρήσεται. διὸ καὶ ἐπίμεμπτοι οἱ ἀφορισάμενοι τὸ δεύτερον πρόσωπον πρὸς ὃν ὁ λόγος, ὅτι μὴ προστιθέασι καὶ περὶ αὐτοῦ τοῦ προσφωνουμένου. καὶ δὴ τὰ προκείμενα συντάσσεται μὲν δευτέροις προσώποις, οὐ μὴν δευτερᾷ ἐστιν· οὐ γὰρ κατὰ τῶν προσφωνουμένων αἱ πρόσταξεις γίνονται, κατὰ δὲ τῶν ἐν τρίτοις νοουμένων. σαφὲς καὶ τοῦ παρεπομένου ἀριθμοῦ. νίκα γὰρ δευτέρῳ προστάσσεται, ἑνικῶς μὲν γίνεται λέγε, πληθυντικῶς δὲ λέγετε. οὐ μὴν ἐν τῷ λεγέτω ταὐτὸν παρακολουθήσει· τρίτου γὰρ καθεστῶτα τὴν ἐν τρίτοις προσώποις διαλλαγὴν ἴσχει τοῦ ἀριθμοῦ, λεγέτω λεγέτωσαν, τοῦ ἐγκειμένου δευτέρου προσώπου οὐδαμῶς τὸ τοιοῦτον ἀναδεχομένου. ὁ δὲ εἰ φύσει προσέκειτο

κατὰ προσώπου μερισμόν, ἀνεδέξατο ἂν καὶ τὸν συνόντα ἀριθμὸν ἑνικὸν καὶ πληθυντικόν, καθάπερ καὶ ἐπὶ τῶν ἀντωνυμιῶν, ἡμέτερος, ἐμός· νυνὶ δὲ τὸ λεγέτω καὶ λεγέτωσαν καὶ τὰ ὅμοια οὐκ ἔχει διαστολὴν τῶν κατὰ τὸ δεύτερον πρόσωπον ἐν ἀριθμῷ, πότερον ἑνί τις ἀποφαίνεται περὶ ἑνὸς ἢ πλείοσι περὶ ἑνὸς ἢ καὶ περὶ πλειόνων. οἷόν τε γάρ ἐστι φάναι καὶ ἀθροίσματι ἐγρηγορείτω ὁ στρατηγὸς ὑμῶν καὶ ἑνὶ ἐγρηγορείτω σου ὁ δεσπότης, καὶ οὐδεμία ἐστὶν ἐναλλαγὴ ἢ μόνη ἡ κατὰ τὸ τρίτον νοουμένη, ἧς ἐστὶ καὶ τὰ πρόσωπα. Τὸ δὴ οὖν λεγέτω καὶ πάντα τὰ τοιαῦτα σημαίνει
258 ἀπόντων προσώπων πρόσταξιν, ἀναγκαίως δευτέρου προσώπου ἐναλλασσομένως παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως, ἐπεὶ πάλιν ἡ πρόσταξις ἐκτὸς δευτέρου προσώπου ἀσύστατός ἐστιν· ἔνθεν γὰρ καὶ ταῖς ἐν δευτέρῳ προσώπῳ νοουμέναις ἀπάντοτε κλητικαῖς σύνεστιν.

Πρόκειται δὲ ὡς τὸ πλέον συνεμπίπτουσι τῆς ὁριστικῆς ἐγκλίσεως αἱ φωναί, ὡς τὸ λέγετε καὶ λέγεσθε καὶ ἔτι διανοεῖσθε καὶ ἅπαντα τὰ τοιαῦτα. καὶ ἐπεὶ πάλιν αἱ κλητικαὶ συνεμπίπτουσι ταῖς εὐθείαις, συγγίνεται δ' εὐθείαις τὰ ὁριστικὰ καὶ ἔτι αἱ κλητικαὶ τοῖς προστακτικοῖς, πάλιν τὸ διανοεῖσθε ἄνθρωποι οὕπω διακέκριται, εἰ μὴ ἐπιπροσγένηται

τὰ ἰδιάζοντα πρὸς ἑκάτερα τῶν μερῶν τοῦ λόγου. φήσομεν γὰρ ἐπ' εὐθείας ἄνθρωποι ὄντες διανοεῖσθε, οὐχ ὡς οἴονταί τινες κατὰ προσταχτικὴν ἔγκλισιν, κατὰ δὲ ὁριστικήν, καθά περ ἔστιν ἐπινοῆσαι καὶ πρῶτον καὶ τρίτου, ἄνθρωποι ὄντες διανοούμεθα, ἄνθρωποι ὄντες διανοοῦνται. καὶ τῆς ἐνικῆς συντάξεως προφανὴς ὁ λόγος, ἄνθρωπος ὢν διανοῶ, ἄνθρωπος ὢν διανοοῦμαι καὶ ἔτι διανοεῖται· ἐφ' ἧς συντάξεως κατὰ τὰ κλητικὰ αἱ δύο φωναὶ ἐναλλάσσονται, ἄνθρωπε διανοοῦ. Ἀλλὰ καὶ τῆς συνούσης μετοχῆς προφανές. οὐ γὰρ συνίσταται ἡ ὢν μετοχὴ μετὰ κλητικῶν, μετὰ μέντοι τῶν εὐθειῶν· οὐ γάρ φαμεν ἄνθρωπε ὤν, ἄνθρωπος δὲ
259 ὤν. οὕτως ἀπεδείκνυτο καὶ ἡ σύ ὡς εἶη εὐθείας ἐν τῷ σὺ ὢν ὡς εἰ καὶ ἐγὼ ὤν. Κἂν μετὰ ἄρθρου δὲ λέγωμεν οἱ ἄνθρωποι διανοεῖσθε, οὐ κατ' ἐγκέλευσιν τοῦ διανοεῖσθε, κατὰ δὲ τὴν ὑπάρχουσαν ἑκάστῳ διάνοιαν, ἣν ὁριζόμεθα ἐν τῷ διανοεῖσθε, ὡς εἰ καὶ λέγοιμεν ὑπάρχει ἐν ὑμῖν τὸ λογιστικόν, τοῦ ἄρθρου μηνύοντος τὴν εὐθεῖαν. εἰ γὰρ προσθείη τις τὸ ὦ, γνήσεται καὶ τὸ διανοεῖσθε προστακτικόν, ὦ ἄνθρωποι διανοεῖσθε· ἀλλ' εἰ καὶ ἔτι τὸ ἄγε, ἄγε διανοεῖσθε ὦ ἄνθρωποι. ἐφ' ἧς συντάξεως πάλιν εἴ τις ἀντιθείη τὸ ὅτι, ὅτι διανοεῖσθε, μεταστήσεται τὰ

τῆς συντάξεως εἰς τὴν ὁριστικὴν ἔγκλισιν. Καὶ τοσαῦτα μὲν περὶ τῶν ὁμοφωνούντων.

Περὶ δὲ τῶν μὴ ὁμοφωνούντων μήτε ἐν τοῖς ὀνόμασι μήτε ἐν τοῖς ῥήμασι οὐδὲ κατ' ἀλέγον τὰ τῆς συντάξεως δεῖται λόγου, ἄνθρωπος ἔγραφεν, ἄνθρωπε γράφε. εἰ γὰρ ἀνὰ μέρος πάλιν τὸ ἕτερον γένοιτο ὁμόφωνον, τὸ συμφερόμενον τὸ ἀμφίβολον ἀποτρίψεται. φέρε φάναι περὶ τοῦ Ἑλικών καὶ τῶν ὁμοίων ὀνομάτων· προκείμενον γὰρ τὸ ὁριστικὸν εὐθείαν σύνταξιν ἀποτελεῖ, Ἑλικὼν γράφει, τό γε μὴν προστακτικὸν κλητικήν, Ἑλικὼν γράφε. ἢ ἀνάπαλιν ἐπὶ τοῦ ἤχει, λέγω κατὰ παρατατικὴν προφορὰν τοῦ τρίτου προσώπου, ἤχει ποτὲ τὸ ἐν Δωδώνῃ χαλκεῖον· ἀλλὰ καὶ κατὰ προστακτικὴν προφοράν, νίκα λέγω ἤχει σύ. ὃ προσδεχόμενον τὸ τῆς εὐθείας σχῆμα παρατατικὸν ἀποτελέσει τὸ ἤχει, ἤχει ὁ τρίπους, ἤχει ὁ ἄνθρωπος· ἢ πάλιν τὸ κλητικὸν τὸ προστακτικὸν ἀποτελέσει, ἤχει ἄνθρωπε. ἐφ' οὗ δὴ προσγινομένη ἡ ὁμόφωνος εὐθεῖα τέλεον ἀμφίβολον ποιήσει τὴν σύνταξιν ἐν τῷ ἤχει Ἑλικών· ἐφ' ἧς πάλιν συντάξεως χρεία ἐστὶ τῶν προκειμένων μορίων, ὁ Ἑλικὼν ἤχει, ἆγε ἤχει ὦ Ἑλικών, ἅτι ἤχει ὁ Ἑλικών. Οὐ λέλησμαι ὅτι καὶ ἡ αὐτοτέλεια τεκμήριόν ἐστι κλητικῆς· ἰδοὺ γὰρ καὶ αὐτὸ τὸ Ἑλικών ἐλλεῖπον μὲν ῥήματι εὐθεῖαν ὁμολογεῖ,

οὐ τῇδε δὲ ἔχον κλητικῆς ἐστὶ πτώσεως τὸ τοιοῦτον, οἷον Ἑλικὼν ἥχει.

Ἐδείκνυμεν τοῦ ἐνεστῶτος ἁπάντοτε τὰ πληθυντικὰ συνεμπίπτοντα, ὧν ἡ διάκρισις ἐγίγνετο διὰ τοῦ ἄγε ἢ ὅτι, ὑποστελλομένου ἑνὸς ῥήματος τοῦ ἔστε. τοῦτο γὰρ ἀπέβαλε τὴν ἀμφιβολίαν, εἴ γε βαρυνόμενον μὲν προστακτικόν ἐστιν, ὀξυνόμενον δὲ ὁριστικόν. καὶ ἴσως δόξει ὠλιγωρῆσθαι τὰ τῆς φωνῆς, ὅτι μὴ τῷ καθολικῷ ὕπεστι· καὶ ἤτοι τὸ ὀξυνόμενον ἁμάρτηται ἢ τὸ βαρυνόμενον προστακτικόν. Ἐφ' οὗ ἂν φαίη τις ὡς ἅπαντα τὰ εἰς τε λήγοντα προστακτικὰ βαρύνεται, καὶ διὰ τοῦτο βαρυνόμενον τὸ ἔστε κατώρθωται, καὶ λείπεται τὸ ἐστέ ὠλιγωρῆσθαι, ὅτι μὴ ὁμοφωνεῖ τῷ κατωρ-
261 θωμένῳ. ἀλλ' ὁμοτονεῖν θέλει τὰ δεύτερα ὁριστικὰ πληθυντικὰ τοῖς πρώτοις, ἴμεν ἴτε, δίδομεν δίδοτε· εἰ οὖν ἐσμέν, δῆλον ὅτι καὶ ἐστέ. τὸ δὲ προστακτικὸν βαρυνόμενον. τί οὖν χρὴ ἐπὶ τοῦ τοιούτου διαλαβεῖν; ἢ ἐκεῖνο ἀποφήνασθαι, ὡς ὀξύνεται μὲν τὸ ὁριστικὸν ἐν τῷ ἐσμέν καὶ ἐστέ διὰ τὸ εἶναι ἐγκλιτικά, οἷς οὐ σύνεστι βαρὺ τὸ τέλος· καὶ ἐπειδὴ ἐν τοῖς προστακτικοῖς ἀφίσταται ἡ ἔγκλισις, συναφίσταται καὶ ἡ ἐπὶ τέλους ὀξεῖα, ἥ τις αἰτία ἦν τῆς ἐγκλίσεως. διὰ τοῦτο τὸ μὲν εἰμί ὀξύνεται ὁριστικὸν ὄν, καθὸ ἐγκλιτικόν, οὐ μὴν τὸ ἴσθι προστακτικόν, καθὸ οὐκ ἐγκλιτικόν, καί τοι

πάλιν τῶν εἰς θι ληγόντων προσταχτικῶν ὁμοτονούντων τοῖς εἰς μι, ζεύγνυμι ζεύγνυθι, εἶμι ἴθι. Ἔνθεν οὐ συγκατατίθεμαι τοῖς ἐν προσταχτικῇ προφορᾷ ὀξυτονοῦσι τὸ φαθί, συνελεγχομένοις καὶ τοῦ τρίτου προσώπου τοῦ φάτω, ὃ δὴ ὁμότονον καθεστὸς τῷ δευτέρῳ ὁμοίως τοῖς ἄλλοις ἤλεγχε τὴν παρὰ τὸ δέον ὀξεῖαν.

28 Ἐξῆς ῥητέον περὶ τῆς ὑποταχτικῆς ἐγκλίσεως, ἣν τινες καὶ διστακτικὴν ἀποφαίνονται ἀπὸ τοῦ ἐξ αὐτῆς δηλουμένου, καθά περ καὶ αἱ προκατειλεγμέναι ταὐτὸν ἀνεδέξαντο· σαφὲς γὰρ ὅτι τὸ ἐὰν γράφω καὶ τὰ τούτοις ὅμοια δισταγμὸν τοῦ ὡς ἐσομένου πράγματος σημαί-
268 νει. Ἀλλ' ἴσως ἀντικείσεται τὸ μηδὲ αὐτὰ ἔχεσθαι τῆς ἐννοίας τοῦ δισταγμοῦ, τὸν δὲ παρακείμενον σύνδεσμον αἴτιον γίνεσθαι τῆς διστακτικῆς ἐννοίας. καὶ εἰ ἀπὸ τῆς δυνάμεως τῶν συνδέσμων ἔοικε τὰ ῥήματα ἀνάγεσθαι, οὐδὲν κωλύει καὶ τὰς λοιπὰς ἐγκλίσεις μεταπίθεσθαι τῆς ἰδίας κλήσεως, ἀναδεξαμένας τὴν ἐκ τῶν συνδέσμων δύναμιν. οὐ γὰρ ἔτι ὁριστικὸν τὸ εἰ ἔγραψα, εἰ ἐφιλολόγησα, οὐδὲ ταὐτόν ἐστι τὸ φιλολογήσω τῷ ἤτοι φιλολογήσω ἢ παρεύσομαι εἰς περίπατον, οὐδὲ τὸ γράψαιμι ἂν εὐχὴν ἐπαγγέλλεται, ὁρισμὸν δὲ τοῦ ἐσομένου πράγματος. σχεδόν τε ὑπὸ τὸν αὐτὸν δισταγμὸν πίπτει τὸ εἰ περι-

πάτει κινῇ τῷ ἐὰν περιπατῇς κινηθήσῃ, καὶ οὐ καλεῖται τὸ εἰ περιπατεῖς διστακτικόν. Ἀλλὰ πρὸς τὴν τοιαύτην ἀντίρρησιν ἑνὸν ἀπαντῆσαι ὡς αἱ μὲν ἄλλαι ἐγκλίσεις ἐκτὸς οὖσαι τῶν συνδέσμων τὸ ἐξ αὐτῶν δηλούμενον ἀνεδέξαντο, ἐξ οὗ καὶ τὴν θέσιν ἔσχον τοῦ ὀνόματος. προῦπτον γὰρ ὅτι τὸ γράψαιμι εὐχῆς ἐστὶ παραστατικὸν καὶ τὸ περιπατῶ ὁρισμοῦ· ὅθεν εἰ ταύταις προσγένοιτό τις συνδεσμικὴ σύνταξις, οὐκ ἐκ ταύτης ἕξουσι τὴν θέσιν τοῦ ὀνόματος, ἐκ δὲ τῆς φύσει αὐταῖς ἐγκειμένης ἐγκλίσεως, καθὸ καὶ αὐτοὶ οἱ σύνδεσμοι ἐκ τῆς ἰδίας παρεμφάσεως τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέξαντο, διαζευκτικοὶ καλούμενοι, δυνητικοί, συναπτικοὶ καὶ ἄλλοι οἱ ὑπόλοιποι. ὅθεν εἰ καὶ τῇ καλουμένῃ διστακτικῇ ἐγκλίσει παρείπετο τὸ ἐκτὸς συνδέσμου σημαίνειν τι, κἂν πάντως τὴν ἐκ τούτου ὀνομασίαν ἀνεδέξατο. νυνὶ δὲ οὐδέποτε ἐμόνασεν ἐκτὸς συνδέσμου, καὶ οὕτως ἄδηλον ἔσχε τὸ σημαινόμενον, καὶ διὰ τοῦτο αὐτό, οὐκ ἔχουσα ἰδίᾳ δηλούμενον, παρεδέξατο ἐκ δυνάμεως τοῦ συνδέσμου τὴν τοῦ ὀνόματος θέσιν εἰληφέναι. Ἦν δ' ἂν ὁ λόγος πάνυ εὐπαράδεκτος, εἰ τὰ καλούμενα ὑποτακτικὰ ῥήματα συνετάξει μᾶ ἐκέχρητο συνδεσμικῇ τῇ προκειμένῃ. νυνὶ δὲ καὶ οἱ καλούμενοι ἀποτελεστικοὶ ἐπὶ τὴν αὐτὴν σύνταξιν φέρονται, ἡνίκα φαμὲν Τρύφων περι-

πατεῖ ἵνα ὑγιάνῃ ἢ ὁδὸς τὸν χάρτην ἵνα γράψω· καί τοι μᾶλλον ἀποτελεστικὰ ὀφείλει καλεῖσθαι τὰ ῥήματα ἢ διασταλτικά. ἀλλ' οὐδὲ ἀποτελεστικά· ἰδοὺ γὰρ καὶ κατ' αἰτιολογικὴν σύνταξιν, νίκα φαμὲν ἵνα ἀναγνῶ ἐτιμήθην, ἵνα ἀναστῶ ἠτιάθη Τρύφων. ὑγιῶς ἄρα ἀπὸ ἑνὸς τοῦ παρακολουθοῦντος τῇ προκειμένῃ ἐγκλίσει, τοῦ μὴ συνίστασθαι αὐτὴν εἰ μὴ ὑποταγείη τοῖς προκειμένοις συνδέσμοις, εἴρηται ὑποστακτική.

Ὅτι δὲ καὶ ἐπ' ἄλλων μερῶν λόγου μερικὴ διαφωνία αἰτία γίνεται τοῦ εἰς κοινὸν ὄνομα ἀνάγεσθαι τὴν θέσιν, σαφές ἐστι καὶ ἐξ αὐτῶν τῶν συνδέσμων. οἱ μὲν γὰρ ἄλλοι ἀπ' ἰδί-
264 ας δυνάμεως ἀναδεχόμενοι τὴν θέσιν ἔσχον τῶν ὀνομάτων, ἀπὸ τοῦ ἐν συναφείᾳ τοὺς λόγους ἐπάγειν συναπτικοί, ἢ ἀπὸ τοῦ διαζευγνύειν διαζευκτικοί, καὶ ἅπαντες οἱ ὑπόλοιποι· οἵ γε μὴν καλούμενοι παραπληρωματικοὶ οὐκ ἀπὸ τοῦ δηλουμένου τὴν θέσιν ἔσχον. οὐ γὰρ ἀληθές ἐστιν, ὥς τινες ὑπέλαβον, μόνον αὐτοὺς ἀναπληροῦν τὸ κεχηνὸς τῆς ἑρμηνείας καὶ διὰ τοῦτο εἰρῆσθαι παραπληρωματικούς· ὅτι γὰρ ἕκαστος αὐτῶν ἔχει τινὰ δύναμιν, παρεστήσαμεν ἐν τῷ περὶ συνδέσμων. οὐ γὰρ ταὐτόν ἐστι τὸ τοῦτό μοι χάρισαι τῷ

τοῦτό γέ μοι χάρισαι,

οὐδὲ τὸ ἀγαθὸς ὢν τῷ

ἀγαθός πῃ ἐών·

αὐδὲ ταὐτὸν ἐμφαίνει τὸ οἱ μὲν παρ' ὄχεσφι τῷ

οἱ μὲν δὴ παρ' ὄχεσφι·

περιγραφῆς γὰρ λόγου σημεῖόν ἐστιν ὁ δή. Οὐ δὲ γὰρ ἐκεῖνο ἐξαίρετόν ἐστι, τὸ αὐτοὺς μόνους ἐν πλεονάσματι εὑρίσκεσθαι· ἀλλὰ σχεδὸν τὸ τοιοῦτον πάθος σύνεστι καὶ κατὰ τῶν ὑπολοίπων συνδέσμων,

ἠὲ καὶ Μηριόνης πρότερος,

ἤτοι μὲν Μενέλαος,

καί τε χαλιφρονέοντα·

μυρία ἔστιν εἰς τὸ τοιοῦτο παραθέσθαι. Ἀλλ' οὐδὲ ἴδιον συνδέσμων τὸ ἐν πλεονασμῷ καταγίνεσθαι· σχεδὸν γὰρ ἐπὶ πάσας τὰς λέξεις τὸ τοιοῦτον συντείνει. καὶ εἰ ἀπὸ τοῦ πλεονάζοντος ἡ θέσις τοῦ ὀνόματος, τίς ἡ ἀποκλήρωσις τοῦ ἐπὶ τῶν συνδέσμων τὸ τοιοῦτο παρηκολουθηκέναι, λέγω τῶν παραπληρωματικῶν; ἢ ὅτι οἱ μὲν ἄλλοι σύνδεσμοι, διάφοροι ὄντες κατὰ τὰς φωνάς, μίαν δύναμιν ἐπηγγέλλοντο, ἐξ ἧς καὶ τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέχοντο, οὐ μὴν τοῖς παραπληρωματικοῖς ταὐτὸν συνηκολούθει· σχεδὸν γὰρ ἕκαστος αὐτῶν ἰδιόν τι ἐπηγγέλλετο, μείωσιν μὲν ὁ γὲ ἐν τῷ

τοῦτό γέ μοι χάρισαι,

περιγραφὴν λόγου ὁ δή, ἐναντιότητα ὁ πέρ

μετ' αὐξήσεως ἐμφαντικῆς. ἦν οὖν ἀνέφικτον τὸ ἐκ τοῦ σημαινομένου τὴν ὀνομασίαν αὐτοὺς ἀναδέχεσθαι διὰ τὸν προκείμενον λόγον. κοινὸν οὖν παρείπετο αὐτοῖς τὸ πλεοναζειν κατὰ τὸ ἐλλεῖπον, καὶ ἐκ τοῦ κοινῶς παρεπομένου τὸ ὄναμα ἀνεδέξαντο, οὐ διαψευδόμενοι τὴν θέσιν τοῦ ὀνόματος.

Ὁ τοιοῦτος λόγος συντείνει καὶ ἐπὶ τὰ παρώνυμα τῶν ὀνομάτων καὶ τὰ ῥηματικά. καὶ γὰρ ταῦτα ἐκ τῆς προϋφεστώσης ὕλης τὴν ὀνομασίαν ἀνεδέξαντο· ἠδυνάτει γὰρ ἐκ τοῦ δηλουμένου ἕνεκα τῆς ἐν αὐτοῖς γινομένης παμπόλλου διαφορᾶς, εἴ γε πάλιν τὰ ἄλλα τῶν εἰδικῶν ἑνὶ δηλουμένῳ ἐπέχρητο, ἐξ οὗ καὶ τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέχετο.

Ἡ προκειμένη ἔγκλισις μετὰ τοῦ ἐάν συνδέσμου καὶ τῶν ἰσοδυναμούντων ἐπὶ μέλλοντα φέρεται ἢ ἑστῶτα, ἐὰν φιλολογῶ παραγενήσεται Δίων, ἐὰν ἀναγινώσκω παραγίνεται Τρύφων· ἀκατάλληλον γὰρ τὸ ἐν παρῳχημένῳ. ὁμοίως καὶ ὁ ἵνα ἀποτελεστικός,
266 ἵνα φιλολογήσω παραγενήσεται Τρύφων καὶ ἔτι παραγίνεται. εἰ γὰρ ἐγγένοιτο παρῳχημένου σύνταξις, δύναται ὁ αἰτιώδης ἀκούεσθαι, ἵνα φιλολογήσω παρεγενήθη Τρύφων· ἐν ἴσῳ γάρ ἐστι τῷ διότι ἐφιλολόγησα παρεγενήθη Τρύφων. οὐ τοῦτο δέ φημι, ὅτι καὶ ἀποτελεστικῶς πάλιν οὐ δυ-

ναται ἀκούεσθαι· δυνατὸν γὰρ πάλιν αὖτως ἀκούειν, εἰς τὸ φιλολογῆσαί με παρεγενήθη Τρύφων. ἐπὶ τοῖς οὖν ἰσομένοις ἡ σύνταξις τοῦ αἰτιολογικοῦ οὐκ ἂν γένοιτο· ἐπὶ γὰρ γεγονόσιν αἱ αἰτίαι ἐπιλέγονται. ὅθεν καταλληλότερος γίνεται ὁ αἰτιολογικὸς ἐπιφερομένων τῶν παρωχημένων, ἵνα ὑβρίσω Θέωνα, οὐ φήσομεν ἀγανακτήσει Δίων, ἠγανάκτησε δέ. ἐπί γε μὴν τοῦ ἀποτελεστικοῦ ἔνεστι φάναι ἵνα ὑβρίσω Θέωνα παρέσται Τρύφων.

29 Ἀκόλουθόν ἐστιν ἐκθέσθαι καὶ περὶ τῆς συντάξεως τῶν ὑποτακτικῶν, ἀπὸ ποίας ἐγκλίσεως οἱ παρατιθέμενοι σύνδεσμοι ἀφιστᾶσι τὰ ῥήματα. ἔφαμεν γὰρ ἐν τοῖς προκειμένοις τὰ τοιαῦτα ῥήματα μὴ συνίστασθαι χωρὶς τῶν συνδέσμων, σαφὲς γὰρ ὅτι πᾶν ὅ ἐστι μέρος λόγου ἐν παραθέσει συνδέσμου, τὸ αὐτὸ πάντως καὶ κατ' ἰδίαν ῥητὸν ἦν. οὐ γὰρ δή γε ἓν μέρος λόγου τὸ ἐὰν δράμῃς, ἐὰν γράψῃς, ἵνα δῶμεν τὸ μὴ πάντως ῥητὸν εἶναι τὸ συντεθει-
297 μένον κατ' ἰδίαν, ὡς γε ἔνεστιν εὑρέσθαι μυρία σχήματα ἐν συνθέσει μεταπεποιημένα κατὰ τὴν σύνθεσιν, ὧν τὸ διαλυόμενον κατ' ἰδίαν οὐκ ἔστι ῥητόν. παρὰ τὸ σέβομαι ἐγένετο εὐσεβής, καὶ οὐ ῥητὸν κατ' ἰδίαν τὸ σεβής· ὁμοίως καὶ τὸ πρωτοπαγής παρὰ τὸ ἐπάγη, καὶ οὐ ῥητὸν τὸ παγής· γείνω ἀγενής· οὐ δὴ οὖν, ὡς ἔφαμεν, ἓν ἔσται τὸ ἐὰν λάβῃς, ἵνα μὴ πάντως

τὸ λάβῃς ἀναγκάζηται κατ' ἰδίαν λέγεσθαι. Εἰ δὲ καὶ τὸ τοιοῦτον δεῖται ἀποδείξεως, βραχέα παραθησόμεθα ὑπὲρ τοῦ μὴ ἡνῶσθαι εἰς ἓν μέρος λόγου τοὺς συνδέσμους τοῖς ῥήμασι. πόθεν γὰρ αἱ μεσαζόμεναι λέξεις παρεμπίπτουσιν; ἐὰν σήμερον καὶ αὔριον ἀκούσῃς, ἀντιλήψῃ τῶν λεγομένων. ἀλλ' ἐπεὶ καὶ ἐν συνθέτοις τὸ τοιοῦτον ἐγγίνεται, ὡς ἐν τῷ

λίων κατὰ ταῦρον ἐδηδώς,

νήπιοι οἱ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο
ἤσθιον,

ἐκεῖνό γε ὁμόλογόν ἐστιν ὡς τὸ ἵνα δρέμῃς,

ὄφρα πεποίθῃς,

τὰ τούτοις ὅμοια τὴν ἐν ἑκατέρῳ μέρει λόγου τάσιν ἀναδέχεται, ὡς ἂν παραθέσεως οὔσης καὶ οὐ συνθέσεως. πρὸς οἷς οὐδὲ οἱ σύνδεσμοι συντίθενται καθ' ἓν μέρος λόγου, οἵ τε συντεθειμένοι μόνοι εἰσὶ συναπτικοί. Ἔστιν οὖν ἡ πρώτη ἐκφορὰ τῶν ὑποτακτικῶν ὁριστική, ἣν οἱ παρατεθέντες σύνδεσμοι ἐν φωνῆς ἰδιώμασι κατέστησαν. διὸ καὶ προσεγένετο ἡ κλῆσις, ἐπεί τοί γε, εἰ ἐφυλάσσετο τὸ ἔλαβες ἐν τῷ ἐὰν λάβῃς, συνέμεινεν ἂν καὶ ἡ αὐτὴ ὀνομασία τῆς ἐγκλίσεως, καὶ εἰ μὴ ὁρισμὸν σημαίνοι, καθὼς καὶ ἐν τοῖς προκειμένοις παρεστήσαμεν ὡς καὶ τὸ ἔγραψα ἄν, οὐκ ἐμφανίζον ὁρισμὸν τοῦ πράγματος, καλεῖται ὁριστικὸν διὰ τὸ συνημμένον σχῆμα τῆς ἐγκλίσεως. ἅμα οὖν καὶ τῷ

τὴν φωνὴν ἀποστῆναι ἐν τῷ ἐὰν λάβῃς, ἐὰν δράμῃς, συναπέστη καὶ ἡ ὀνομασία τῆς ἐγκλίσεως. προφανῶς γὰρ αἱ φωναὶ διέστησαν εἰς μείζονα χρόνον ἐν τοῖς συνοῦσι βραχέσι φωνήεσι κατὰ τὰς ὁριστικὰς ἐγκλίσεις, τῶν ὑπολοίπων συλλαβῶν συμμενουσῶν. εἰς μαι λήγει τὸ ὁριστικόν, λέγομαι, ἀλλὰ καὶ τὸ λέγωμαι, ἐπεὶ ποία οἰκειότης πρὸς εὐκτικὸν τὸ λεγοίμην ἢ τὸ ἀσύστατον προστακτικὸν ἢ ἀπαρέμφατον τὸ λέγεσθαι; ὁμοφωνεῖ δὲ τῷ δευτέρῳ, ὅτι λέγῃ ἢ ἐὰν λέγῃ, τοῦ λέγοιο ἢ λέγου οὐδεμίαν οἰκειότητα ἐχόντων πρὸς τὴν ὑποταικτικὴν φωνήν. τὰ τρίτα ἐστὶ πληθυντικὰ λέγοιεν ἢ λεγέτωσαν, τό γε μὴν ὁριστικὸν λέγουσι, καὶ πάλιν τούτῳ συμφέρεται τὸ λέγωσιν, ἐὰν λέγωσιν. ὁμοφωνεῖ δὲ ἁπάντοτε κατὰ δευτέραν συζυγίαν τῶν περισπωμένων, ἐπί τε προσώπων τῶν κατ' ἐνεστῶτα, λέγω δὲ κατ' ἐνεργητικὴν κατάληξιν, ἐὰν λέγω - ὅτι λέγω, ἐπί τε δευτέρων προσώπων ἁπάντοτε παθητικῶν, ὅτι λέγῃ σύ - ἐὰν λέγῃ σύ, ὅτι νοῇ σύ - ἐὰν νοῇ σύ. πε-
269 ρισσὸν ἡγοῦμαι τὸν λόγον ἐπὶ πλέον προάγειν· προφανὴς γάρ. Ἄλλως τ' ἐδείξαμεν τὴν ὁριστικὴν ἔγκλισιν καταρχουσαν τῶν ἐγκλίσεων, ὡς ἂν ἐμφανεστάτην οὖσαν καὶ πλείοσι τομαῖς χρόνων προσκεχρημένην καὶ ταῖς συνούσαις φωναῖς ὅθεν εἰ τὰ εὐκτικὰ καὶ τὰ προστακτικὰ κανόνα ἔχει τὴν ὁριστικὴν ἔγκλισιν, περισσὸν

ἂν εἴη τὸ ζητεῖν εἰ καὶ τὰ ὑποτακτικὰ ἐξ αὐτῆς μετείληπται.

30 Ὀφειλόμενόν ἐστι καὶ τῇ συντάξει τῶν ἐπιζευκτικῶν ἐπιστῆσαι, τί δή ποτε τὰ τέλη παρητήσαντο τῶν παρῳχημένων φωνῶν· οὐ γὰρ ἐφικτὴ ἡ σύνταξις τοῦ ἐὰν ἔλεγον, ἐὰν πέποιθα καὶ τῶν παραπλησίων, καί τοι τῶν παραθέσεων, ὡς ἔφαμεν, οὐ μεταποιουσῶν τὰ τέλη τῶν οἷς παράκεινται. Φαίνεται δὲ ὅτι τῆς τοιαύτης ἀκαταλληλίας ἐστὶν αἴτιον τὸ μάχεσθαι τοὺς παρῳχημένους χρόνους τῇ ἐκ τῶν συνδέσμων δυνάμει. δισταγμὸν γὰρ τῶν ὡς ἐσομένων πραγμάτων παριστᾶσι, καὶ ἔτι τῶν ὡς τελεσθησομένων, οὓς καὶ ἀποτελεστικοὺς συνέβη καλεῖσθαι· πόθεν οὖν τὸ γεγονὸς τῷ μὴ ἐσομένῳ συνοισθήσεται; ἔνθεν οὖν ἀσύστατον τὸ ἐὰν ἔλαβον, ἵνα ἀνέγνων, καὶ ἔτι ἐπὶ τῶν ὁμοιοδῶν συνδέσμων, σύστατον δὲ τὸ ἵνα ἀναγνῶ, ἐὰν ἀναγνῶ· τέλει γὰρ ἐχρήσατο τὰ ῥήματα
270 οὐ δυναμένῳ χρόνοι παρακείμενον σημαίναι κατὰ πρῶτον πρόσωπον. ὧν τὰ δεύτερα καὶ τρίτα ὀφείλοντα ἰσοχρονεῖν ἢ τὸ αὐτὸ ᾧ παραδέξεται ἢ τὸ ἰσόχρονον ᾗ συγγραφομένου τοῦ ῑ, καθὸ ἡ ἐν πρώτῳ γενομένη κατάληξις τοῦ ω̃ τὴν ἐν δευτέροις καὶ τρίτοις προσώποις ἐκφορὰν ἔχει μετὰ φωνήεντος συνόντος τοῦ ῑ, τοῦ τοιούτου ἐντελέστερον ἀποδεικνυμένου ἐν τῷ περὶ ὀρθο-

ὀρθογραφίας. Φαίνεται οὖν ὅτι ὁ αἰτιολογικὸς σύνδεσμος τῇ πρὸς τὸν ἀποτελεστικὸν ὁμοφωνίᾳ συνήρπασε καὶ τὰ τῆς συντάξεως εἰς ταὐτό, τάχα καὶ τῆς ἐπιῤῥηματικῆς ὁμοφωνίας συλλαμβανομένης τῷ λόγῳ· συντασσόμενα γὰρ τὰ ὁριστικὰ μετὰ τοῦ ἵνα ἐνδείκνυται τὸ τοπικὸν ἐπίῤῥημα,

ἵνα τ' ἔτραφεν ἠδ' ἐγένοντο.

ὁμόλογον γὰρ ὅτι οἱ αἰτιολογικοὶ παρωχημένοις χρόνοις συντάσσονται, ὅτι ἔγραψα, ὅτι ἐνόησα.

Ἐχρῆν μέντοι γινώσκειν ὡς αἱ γινόμεναι παραθέσεις ἐξ ἐνεστώτων εἰσὶ καὶ παρωχημένων, τοιοῦτόν τι τῆς συντάξεως ἐπαγγελλομένης ἐν τῷ ἐὰν μαθω, εἰ ἀνύσαιμι τὸ μαθεῖν, ἐὰν δράμω, εἰ ἀνύσαιμι τὸ δραμεῖν· ἐν γε μὴν τῷ ἐὰν τρέχω ἐὰν ἐν παρατάσει γένωμαι τοῦ τρέχειν. καὶ ἔνθεν ἀνέφικτος ἡ τοῦ μέλλοντος σύνταξις· αὐτοὶ γὰρ οἱ σύνδεσμοι τὸ ὡς ἐσόμενον σημαίνουσι. Πῶς οὖν οὐ γελοῖοι καὶ οἱ ἀφορισάμενοι ὡς Δωριεῖς οὐ περισπῶσι τοὺς ὑποτακτικοὺς μέλλοντας, καὶ οἱ ἐπιζητήσαντες κατὰ τί οὐ περισπῶσιν; ὁ γὰρ λόγος αὐτῶν ἐξ ἀσυστάτου λήμματος συνέστηκεν. ἦν δὲ τὸ ἐλλεάσαν τὴν τούτων ἄγνοιαν ἡ γενομένη ὁμοφωνία ἐκ τοῦ εἰς ᾱ λήγοντος ἀορίστου, ἔχουσα οὕτως. ὁ προσγενόμενος χρόνος ἐν τοῖς ὁριστικοῖς ἅμα τῷ μεταστῆναι τὴν ὁρι-

στικὴν ἔγκλισιν περιγράφεται· παρὰ γὰρ τὸ ἔλεξα εὐκτικὸν μὲν γίνεται τὸ λέξαιμι, ἀπαρέμφατον δὲ τὸ λέξαι, προστακτικὸν δὲ τὸ λέξον. καὶ δὴ οὖν ἐν τῇ ὑποτακτικῇ ἐγκλίσει ταὐτὸν παρείπετο μεταποιουμένου τοῦ τέλους εἰς τὸ ω, καθότι καὶ ἐπὶ τῶν ἄλλων παρωχημένων ταὐτὸν συνέβαινεν, ἔφαγον-ἐὰν φάγω, ἔδραμον-ἐὰν δράμω, καὶ οὕτω τὸ ἔλεξα-ἐὰν λέξω γίνεται ὅμοιον ὁριστικῷ μέλλοντι τῷ λέξω. ὅτι γὰρ οὐχ ἡ σύνταξίς ἐστι τοῦ μέλλοντος, τοῦ ἀορίστου δέ, σαφὲς ἐκ τῆς προκειμένης συντάξεως· ἧς εἰ μὴ μεταλάβοιεν οἱ ἐντελέστερον τὸν λόγον παρακρούοντες, δυσπιθέστερον ἀναστρέφουσιν. Ἵν' οὖν εὐσύνοπτος ἅπασιν ἡ σύνταξις γένηται, καὶ τοὺς ἀπὸ τῆς φωνῆς λόγους συντρέχοντας τῇ προειρημένῃ συντάξει παραθήσομαι, πρῶτον παραλαβών, ὑπὲρ οὗ ἐστὶν ἡ ζήτησις, μαρτύριον τὸ τοὺς Δωριεῖς καθ' ὅλης τῆς ἐγκλίσεως τὴν περισπωμένην φυλάττειν ἐν μέλλοντι, οὐ μὴν ἐν ὑποτακτικοῖς, ὅτι μηδὲ ἔστιν ὑποτακτικὸν μέλλοντος. Δεύτερον καὶ τὸν ἀπὸ τῆς Ἀθήδος σχηματισμόν. κατὰ μέλλοντά φασι λυριῶ καὶ κομιῶ, κατὰ δὲ ἀόριστον ἐλύρισα, ἐκόμισα· τί οὖν οὐ φασι καὶ ἐὰν λυριῶ καὶ ἐὰν κομιῶ, σὺν δὲ τῷ σ, συνούσης καὶ τῆς βαρείας τοῦ ἀορίστου καὶ τῆς γραφῆς; Τρίτον ἡ πέμπτη συζυγία κατὰ τὴν παρεδρεύουσαν τοῦ εἰς τὸ ᾰ λήγοντος ἀορίστου καὶ ἔτι κατὰ τὴν πα-

ριδρεύουσαν τοῦ μέλλοντος τῷ ἐναντίῳ χρῆται χρόνῳ. ὁ μὲν γὰρ ἀόριστος πάντως μακραὶν αἰτεῖ, ὥστε καὶ ἐκ βραχείας τῆς κατὰ τὸν ἐνεστῶτα μακραὶν γίνεσθαι, ὡς ἐν τῷ δέρω-ἔδειρα, νέμω-ἔνειμα· ὁ γε μὴν μέλλων βραχεῖαν, ὡς καὶ ἐκ μακρᾶς βραχεῖαν γίνεσθαι, κείρω-κερῶ, φθείρω-φθερῶ. καὶ εἰ τοῦτο, πῶς οὐκ ἂν δοίημεν τὸ ἐὰν νείμω καὶ ἐὰν δείρω, ὡς δὴ μόνου ἐστὶν ἀορίστου, ὅπου γε τὸ ἀνεφικτότατον τοῦ μέλλοντος παρείλαβε, λέγω δὲ τὴν μακράν, μετεδίωξε δὲ τὰ ἴδιον τοῦ εἰς ᾱ λήγοντος ἀορίστου, τὸ μακρᾷ παρεδρεύεσθαι; Τέταρτον δὲ ζητοῦντες κατὰ τί οἱ ὑποταχτικοὶ μέλλοντες οὐ περισπῶνται παρὰ Δωριεῦσι, γελοῖόν τι πείσονται, ὡςεὶ λελησμένοι τῶν συνήθων φωνῶν, τῷ ζητεῖν διὰ τί οἱ Δωρικοὶ μέλλοντες οὐ περισπῶνται, τῶν κοινῶν πολὺ πρότερον τὸ τοιοῦτον ἀναδεδεγμένων. πῶς γὰρ πρὸς τὸ τοιοῦτον σὺκ ἔστι φάναι, διὰ τί τὸ πλυνῶ περισπᾶται, οὐ μὴν τὸ ἐὰν πλύνω; ἢ ὅτι διὰ τῆς περισπωμένης ἐμφανιζόμενος ὁ μέλλων τὸ ἴδιον τοῦ λόγου καθίστανω ὃς εἴ γε πάλιν συντοιοῦτο τῷ ἀορίστῳ, κἂν τὰ τῆς συντάξεως ἐλάνθανεν, ὡς ἐπὶ τοῦ στήσω καὶ ἔστησα-ἐὰν στήσω. Πέμπτον ὅτι τὸ δώσω καὶ τὸ θήσω, ἐὰν προσλάβῃ τινὰ τῶν ἐπιζευκτικῶν, ἀκατάλληλον λόγον ἀποτελεῖ. πότε γὰρ ῥήματι εἰς ῶ λήγοντι οὐ συνάπτονται ἐπιζευκτικοί, ὁπότε καὶ

τὰ τέλη εἰς ὃ τρέπουσιν; ἢ ὅτι οὐκ ἦν ὁ ἔδωσα καὶ ἔθηκα διὰ τοῦ σ γραφόμενος, ἵνα τὸ μεταπῖπτον ᾖ εἰς ὃ τὸ δέον τοῦ καταλλήλου παραστήσῃ. ὠλιγωρημένοι γὰρ οἱ ἀόριστοι μετὰ τὴν ὁριστικὴν ἔγκλισιν ἐσιγήθησαν, καὶ οὕτως οὐκ ὄντων ἀορίστων οὐδὲ τὰ τῆς ἐγκλίσεως ἐγίνετο. τῶν εἰς μι ληγόντων οὐκ εἰσὶ δεύτεροι μέλλοντες, εἰσὶ δὲ ἀόριστοι δεύτεροι, οἷον ἔδων, ἀπέδων, ἔθην, ἀφ' οὗ ἐθέμην. καὶ ἐπεὶ ἦσαν ἀόριστοι, ἦν καὶ ὑποταικτικὴ ἔγκλισις κατ' αὐτῶν, ἐὰν θῶ, ἐὰν δῶ δέδεικται. ἆρα ὡς μελλόντων μὲν ὄντων, οὐ μὴν ἀορίστων, ἡ ὑποταικτικὴ ἔγκλισις ἀπαράλληλος· ἀορίστων δὲ ὄντων, οὐ μὴν μελλόντων, παράλληλος καὶ ἡ ὑποταικτικὴ ἔγκλισις.

31 Ἀκόλουθόν ἐστι διαλαβεῖν καὶ περὶ τῆς ἐγγινομένης διαθέσεως καθ' ἑκάστην ἔγκλισιν, ἧς οὐδὲ τὰ ἀπαρέμφατα ἐκτὸς ἐγένετο διὰ τὸ κατηναγκασμένον τοῦ συνέπεσθαι ἅπασι τοῖς χρόνοις ἢ ἐνεργητικῶς ἢ παθητικῶς ἢ καὶ ἔτι μέσως. Ἔστιν οὖν ἐπιστῆσαι τὸ πρῶτον, εἰ ἐν ἅπασι τοῖς ῥήμασι σύνεστι τὸ δισσὸν τῆς διαθέσεως, συνούσης τῆς προειρημένης μεσότητος, 274 ὡςεὶ καὶ ἐπὶ τῆς τῶν ὀνομάτων κατὰ γένος διακρίσεως, εἰ ἅπασι παρέπεται τὸ ἐν παρασχηματισμοῖς καταμίσεσθαι θηλυκοῦ τε καὶ οὐδετέρου· ἢ οἷς μὲν παρακολούθησε τὸ αὐτὸ μόνον ἐν τοῖς ἐγκλίσεσι καταγίνεσθαι, ἐν ὁριστικῇ

ἀποφάνσει ἡ εὐκτικὴ καὶ ἐπὶ τῶν ὑπολοίπων, οὐ μὴν κατὰ διάθεσιν ἐνεργητικὴν ἢ παθητικήν· ἢ καὶ ἔτι οἷς μὲν μετὰ τῆς ὁριστικῆς ἐγκλίσεως καὶ ἔτι τῶν ὑπολοίπων διάθεσιν δηλοῦν ἐνεργητικήν, οὐ μὴν ἐπιδεχομένοις τὴν παθητικήν. ἔστι δὲ τὸ λεγόμενον τοιοῦτον. Οὐκ εἴ τι ῥῆμα ὁριστικόν ἐστιν ἢ τινος ἄλλης ἐγκλίσεως, τοῦτο πάντως ἐν διαθέσει καταγίνεται τῇ ἐνεργητικῇ. χρὴ γὰρ νοεῖν ὅτι ἡ ἐνέργεια ὡς πρός ὑποκείμενόν τι διαβιβάζεται, ὡς τὸ τέμνει, τύπτει, τὰ τούτοις παραπλήσια· ἧς καὶ τὸ παθητικὸν ἐκ προϋφεστώσης ἐνεργητικῆς διαθέσεως ἀνάγεται, δέρεται, τύπτεται. οὐ δὴ τοιούτοις ὅμοιά ἐστι τὸ ὑπάρχω, τὸ ζῶ, τὸ εἰμί, τὸ πνέω, τὸ φρονῶ, τὰ ὅμοια. τῶν δὴ τοιούτων ἀναλόγως ἡ παθητικὴ ἔγκλισις ὑποστελλήσεται, ὅτι μηδὲ διὰ τῆς ὁριστικῆς ἐγκλίσεως τὰ ἐνεργούμενα πρόσωπα παρέστησαν, ἃ πάντως διατεθέντα τὸ παθεῖν ὁμολογήσει. εἰ γοῦν τὸ φρονῶ ἐν συνθέσει γένοιτο καταφρονῶ, τὴν ἐκ τοῦ φρονεῖν διάθεσιν μεταβιβάσαν ἐπί τι ὑποκείμενον ἐν τῷ καταφρονῶ σοῦ, ἀκώλυτον ἔξει τὴν ἀντιπαρακειμένην παθητικὴν διάθεσιν, καταφρονοῦμαί ὑπὸ σοῦ. ὥστε οἱ τὰ τοιαῦτα ῥήματα κλίνοντες καὶ εἰς παθητικὰς ἐκφορὰς ὁμόλογοί εἰσι μελετήματα φωνῆς παραλαμβάνοντες, οὐ μὴν φυσικὴν κλίσιν οὐδὲ συστατικήν· ὡς εἰ καὶ ἀρσενικόν τις ἀποφαίνοιτο

τοῦ γαλουχήσασα ἢ ἔτι τοῦ ἐκτρώσασα ἢ τινος τῶν κατὰ φωνὴν μὲν δυναμένων συνεμπίπτειν, οὐ μὴν ἐν παραδοχῇ λόγου. ἔστι δὴ οὖν τὰ προειρημένα αὐτὰ μόνον ὁρισμὸν ἐμφαίνοντα τοῦ συνεῖναι τὸ ζῆν, τὸ φρονεῖν, τὸ γηρᾶν, καὶ ἔτι ἐπὶ τῆς συνούσης οὐσίας τὸ ὑπάρχειν, καὶ ἔτι ἐπὶ τῶν ἔξωθεν προσγινομένων κατ' οὐσίας περίκτησιν, ὡς τὸ πλουτεῖν, κερδαίνειν. Ἔστιν δὲ καὶ ψυχικὴν ἢ σωματικὴν διάθεσιν σημαίνει, οἷς οὐ προσγίνεται πάλιν ἡ παθητικὴ κλίσις διὰ τὸ ἐν τῇ προούσῃ καταλήξει τὸ πάθος ὑπαγορεύεσθαι. ἔστι μὲν γὰρ τὸ ἀνιῶ ἐν διαβάσει ἑτέρου προσώπου, ὅ περ ἀποτελέσει παθητικὸν τὸ ἀνιῶμαι, οὐ μὴν τὸ κοπιῶ ἢ τὸ ὀφθαλμιῶ· τὰ γὰρ τοιαῦτα τῶν ῥημάτων ἐν αὐτοπαθείᾳ ἔχει τὸν ὁρισμόν. καὶ ἐπειδὴ τὸ διατίθεσθαι ἢ ἐπὶ τοῖς εὐκταίοις γίνεται ἢ ἐπὶ τοῖς μὴ οὕτως ἔχουσιν, ὁμόλογον ὅτι οὐ συστήσεται παθητικὰ τοῦ πάσχω, χαίρω, ἐρυθριῶ, θνήσκω, γηρῶ, θάλλω, οὐρητιῶ, γαυριῶ. τοιοῦτον γάρ τι παρακολουθήσει, ὡς εἰ καὶ ἀρσενικοῦ ὀνόματος ἀρσενικόν τις ζητήσειεν [276] ἢ θηλυκοῦ θηλυκόν· οὐ δὴ οὖν παθητικοῦ ὄντος παθητικόν τις ζητήσει. τὰ γοῦν διὰ τοῦ μέσου ἑστῶτος ἐν τύπῳ παθητικῷ ἐνέργειαν σημαίνοντα ἀπαράδεκτον ἔχει τὴν διὰ τοῦ ω καταλῆξιν, ἐνεργητικὴν οὖσαν, ἐπεὶ τὸ ταύτης εὔχρηστον διὰ τοῦ προειρημένου μέσου ἑστῶ-

τος κατείληπτο, ὡς ἔχει τὸ βιάζομαί σε, μάχομαί σοι, χρῶμαί σοι καὶ ἄλλα πλεῖστα. σαφὲς οὖν ὅτι παντὸς παθητικοῦ εἰς μαι λήγοντος ἐνεργητικόν ἐστι παραδέξασθαι, ἐὰν μετὰ τῆς καταλήξεως συντρέχῃ καὶ τὰ τῆς συντάξεως, ἵσταμαι ὑπὸ σοῦ - ἵστημι σέ, δέρομαι ὑπὸ σοῦ - δέρω σέ, ἕλκομαι ὑπὸ σοῦ - ἕλκω σέ· οὐχὶ τὸ πέταμαι ὑπὸ σοῦ, διὰ τοῦτο οὐδὲ τὸ πέτημι σέ. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἄγαμαι, δύναμαι, ἔραμαι. Ἔστιν δὲ καὶ διάθεσιν σημαίνει ἐνεργητικήν, οὐ μὴν ἔχει ἀντιπαρακειμένην παθητικὴν ἐκφοράν, καθὸ τὰ διατιθέμενα ἄψυχα καθιστῶτα οὐκ ἠδύνατο ὁμολογῆσαι τὸ παθεῖν, εἰ μὴ τὸν αὐτῶν τις λόγον διαθεῖτο, ὡς ἔχει τὸ περιπατῶ. τούτου γὰρ οὐ συστατὸν τὸ περιπατοῦμαι οὐδὲ τὸ περιπατῇ, καθὸ οὐδὲ πρὸς τὰ ἄψυχα αἱ ἀποτάσεις τῶν λόγων, οὐδὲ ἐξ ἀψύχων αἱ ἀποφάνσεις γίνονται, περί γε μὴν αὐτῶν, περιπατεῖται ἡ ὁδός, οἰκεῖται ἡ γῆ. ὁ αὐτὸς λόγος ἐπὶ τοῦ πλέω, τρέχω καὶ ἁπάντων τῶν τοιούτων. διαθέσεως ἐνεργητικῆς ἐστὶ τὸ δωρί-
271 ζω, αἰολίζω καὶ τὰ παραπλήσια· ἀλλ' οὐ συστατὰ τὸ δωρίζομαι, αἰολίζομαι· τό γε μὴν αἰολίζεται τὰ Ἀλκαίου ποιήματα, δωρίζεται τὰ Ἀλκμᾶνος. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἀριστῶ, δειπνῶ. προδήλου ὄντος τοῦ λόγου περισσὸν ἐγχρονίζειν ἐν τοῖς ὑποδείγμασι. σα-

φὴς γὰρ ὅτι καὶ δειπνίζω ἢ ἀριστίζω, ἐπιδεξάμενα πλαγίαν πτῶσιν τὴν ἀριστίζομαι, ὡς πρὸς ἔμψυχον, ἀνελλιπὲς ἔχει τὸ ἀριστίζομαι καὶ δειπνίζομαι· τοιοῦτον γάρ ἐστιν, ἄρισταν παρέχω τινὶ καὶ δεῖπνον, ὥστε διαφέρειν τὸ ἀριστῶ τοῦ ἀριστίζω, ἢ τὸ μὲν ἀριστῶ ὑποφαίνει ἀρίστου μεταλαμβάνω, τό γε μὴν ἀριστίζω ἀρίστου μεταδίδωμί τινι· ᾧ καὶ τὰ τῆς συντάξεως ἐγγεγόμενα, ὡς ἔφαμεν, τὸ παθητικὸν ἀπετέλεσε. τὴν αὐτὴν ἔχει διαφορὰν καὶ τὸ γαμῶ πρὸς τὸ γαμίζω· ἔστι γὰρ τὸ μὲν πρότερον γάμου μεταλαμβάνω, τὸ δὲ γαμίζω γάμου τινὶ μεταδίδωμι. τό γε μὴν γαμῶ παθητικῶς κλίνεται, καθὸ τὰ τῆς διαθέσεως πρὸς σύνταξιν ἐμψύχου προσώπου κατεγίνετο.

Τούτων οὖν τῆδε ἐχόντων ἐπιστατέον τῷ ἐρίπω ῥήματι, εἰ συνωνυμεῖ τῷ πίπτω, ᾧ παράκειται κατὰ διάλεκτον γενομένη ὀξύτονος μετοχὴ πεσών· καὶ εἰ τὸ πεσὼν οὐκ ἔχει παθητικόν, συστατὸν δέ ἐστι φάναι πεσόντι, δῆλον ὅτι καὶ τὸ ἐριπόντι Πολυνείκει παρὰ Πινδάρῳ ἀναλογώτερον καταστήσεται διὰ τοῦ
278 ὃ γραφόμενον. Ἀλλ' εἰ ἦν ἀληθὲς τὸ συνωνυμεῖν τὸ ἐρίπω τῷ πίπτω; οὐκ ἂν ὑπῆρχε τὸ ἐρίπεται, ὡς οὐδὲ τὸ πίπτεται. μή ποτε γὰρ μᾶλλον τῷ βάλλω συνωνυμεῖ, καὶ ὡς βάλλω σε, οὕτως ἐρίπω σε, καὶ ὡς βληθέντι, οὕτως ἐριπέντι. καὶ γὰρ τὸ

ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν
οὐχ, ὡς οἴονταί τινες, ἀπὸ τοῦ ῥίπτω ἐλλατῶς· οἰκειότερον γάρ πως τὸ καταστρέφεσθαι τεῖχός ἐστιν ἢ ῥίπτεσθαι. ἔστι δὲ οὖν ἀπὸ τοῦ ἐρίπω, κατὰ παθητικὴν διάθεσιν τρίτου προσώπου κατὰ χρόνον τὸν ὑπερσυντέλικον, κατὰ Ἀττικὴν διάλεκτον συστολῆς γενομένης τοῦ ῑ εἰς ῐ, καθὼς ἔχει καὶ τὸ ξηρόν-ξερόν, ποθῆται-ποθέσαι· ἀπὸ τοῦ ἐρίπω ἤριπτο, ἐρήριπτο, καὶ ἔτι ἐρέριπτο.

Τὰ δὲ προκατειλεγμένα τῶν ῥημάτων πρὸς εὐθείας σύνταξιν ἀπαρτίζει διάνοιαν, περιπατεῖ Τρύφων, ζῇ Πλάτων, ἀναπνεῖ Διονύσιος, πλεῖ, τρέχει, χωρὶς εἰ μὴ ἐπὶ τῶν αὐτοπαθῶν αἰτήσειέ τις τὸ ποιοῦν τὸ πάθος, φθίνει Θέων ὑπὸ τῆς λύπης, πάσχει Θέων ὑπὸ τοῦ γυναίου, πυρέσσει Θέων διὰ τὸν κόπον. ἃ περ πᾶν μὴ προσκέηται, τῇ αὐτοτελείᾳ τοῦ πάθους ἀνενδοίαστά ἐστιν, ἐπεὶ καὶ τῷ περιπατεῖ καὶ ζῇ καὶ ἀριστᾷ καὶ τοῖς ὁμοίοις, αὐτοτελίσιν οὔσι, προστίθεται ἔσθ' ὅτε τὸ ἐν γυμνασίῳ ζῇ ἢ ἐν οἴκῳ. ἡ γε μὴν παράθεσις τῶν ἄλλων ῥημάτων πάντως τὸ ἡμιτελὲς καθίστησιν, ὡς ἔχει τὸ Τρύφων βλάπτει, Τρύφων φιλεῖ. διὸ καὶ τὰ τοιαῦτα οἱ ἀπὸ τῆς στοᾶς ἐλάττονα κατηγορήματά φασιν, ὡς πρὸς σύγκρισιν τῶν ἐν αὐτοτελείᾳ καταγινομένων ῥημάτων καὶ μὴ

πάντως ἐπιζητοῦντων πλαγίαν. Οὐ μέντοι μοι δοκεῖ βέβαιον εἶναι τὸ καὶ ἕνια τούτων τὸν αὐτὸν ἐπέχειν λόγον τοῖς προειρημένοις, ὥστε μὴ πάντως πλαγίαν ἐπιζητεῖν. αὐτὸ γὰρ μόνον μηνύειν ἐθέλοντες τὰ ἐγκείμενα πάθη φήσομεν ἐρᾷ οὗτος, φιλεῖ οὗτος, ὡς εἰ καὶ ἐπ' ἀναγνώσματος ἀναγινώσκει οὗτος, αὐτὸ μόνον τὸ πρᾶγμα μηνύοντες· καὶ ἐν ἀποφάσει γάρ ἐστι φάναι οὐκ οἶδεν ἀναγινώσκειν οὗτος. παρὸν μέντοι ἐξεργαστικώτερον φάναι οὗτος ἀναγινώσκει τὰ Ἀλκαίου καὶ Ὁμήρου, οὗτος φιλεῖ Διονύσιον, οὗτος ἐρᾷ Ἑλένης. ὁ αὐτὸς λόγος καὶ πὶ τοῦ τύπτει καὶ τῶν δυναμένων ταὐτὸν παραστῆσαι· οἷόν τε γὰρ φάναι οὗτος τύπτει, ὡς εἰ καὶ οὗτος ἔχει ἢ ψοφεῖ, ὅτι καὶ ἐν ἀπαγορεύσει φαμὲν μὴ τύπτε, μὴ βόα, οἷς πάλιν ἔστι προσθεῖναι αἰτιατικὰς πτώσεις. καὶ δῆλον ὅτι τούτων παθητικὰ γινόμενα φερομένων ἐπὶ πλαγίαν πτῶσιν, οὐ μὴν τῶν δοκούντων κατ' αὐτοτέλειαν τὸν λόγον καθιστάναι, καθὸ δυνάμει ὅμοια γίγνοντο τοῖς προκατειλεγμένοις, λέγω τῷ περιπατεῖν καὶ πλουτεῖν· πρόκειται γὰρ ὅτι τὰ τοιαῦτα οὐκ ἔχει πλαγίαν πτῶσιν.

Ἔστιν οὖν καθολικώτερον φάναι ὡς τὰ πρὸς εὐθεῖαν συναρτώμενα τῶν ῥημάτων, οὐκ ἀπαιτοῦντα πλαγίαν πτῶσιν, οὐδὲ παρακειμένην ἔχει παθητικὴν προφοράν· τά γε μὴν

πλαγίαν ἀπαιτοῦντα πάντως καὶ εἰς παθητικὴν διάθεσιν μετασχηματισθήσεται, συμπαραλαμβανομένης γενικῆς μετὰ τῆς ὑπὸ προθέσεως, δέρομαι ὑπὸ Τρύφωνος, τιμῶμαι ὑπὸ Θέωνος. Καὶ αὕτη μὲν μόνη ἐστὶ τῶν παθητικῶν ἡ σύνταξις· τῶν γε μὴν ἐνεργητικῶν ἐστὶ καὶ γενικῆ, αἰ συνούσης τῆς ὑπό προθέσεως, ὡς τὸ κυριεύω σοῦ, καὶ δοτικῇ, ὡς τὸ παλαίω σοί, καὶ αἰτιατικῇ, ὡς τὸ τιμῶ σέ.

32 Ἡ δὲ προκειμένη σύνταξις αὐτάρκης κατασταθήσεται τοῖς προαιρουμένοις ἁπλούστερον τὰς παραδόσεις τῶν λόγων παραλαμβάνειν· τοῖς μέντοι γε μετὰ πάσης ἀκριβείας ἐπεξιοῦσι τὰ τῆς συντάξεως τοῦ λόγου προσγενήσεται ἐπιστῆσαι, τίνα τῶν ῥημάτων γενικὴν ἀπαιτεῖ καὶ τί τούτου τὸ αἴτιον, καὶ τίνα δοτικήν, συνόντος πάλιν τοῦ αἰτίου· τὸ αὐτὸ καὶ ἐπὶ τῆς αἰτιατικῆς. καὶ δῆλον ὅτι διὰ τὸ συνὸν πλῆθος τῶν ῥημάτων καὶ τὰ τῆς συντάξεως ἰδιώματα δυσπερίληπτα γενήσεται, ἃ περ οἶμαι κατὰ τὸ δέον προσδιακριτέον.

Αἱ μὲν οὖν ἐκ τῆς συνηθείας ἐγγινόμεναι δράσεις σχεδὸν ἐπὶ αἰτιατικὴν ἅπασαι συντείνουσι, παρυφισταμένου καὶ τοῦ ἐνεργοῦντος καὶ τοῦ τὸ πάθος ἀναδεχομένου, οἷς ἐν τῷ δέρω σε, τύπτω σε, τῶν παθάτων κατὰ παθητικὴν σύνταξιν ἄνθυ-
31 παγομένων εἰς συνήθειαν τῶν τε δρασάντων εἰς γενι-

κὴν μετὰ τῆς ὑπό, ἐγὼ δέρομαι ὑπὸ σοῦ· διὰ τό δὲ μετὰ τῆς ὑπό, ἐν τοῖς ἑξῆς εἰρήσεται. Ἡ δὲ προειρημένη σύνταξις, καὶ σωματικῶς τὰ τῆς ἐνεργείας σημαίνη καὶ ἔτι ψυχικῶς, ὡς εἴπομεν, μιᾶς καὶ τῆς αὐτῆς συντάξεως ἐχεται καὶπεὶ πολλαχῶς ἐστι τὸ διατίθεσθαι, πλεῖστοι καὶ τρόποι παρακολουθήσουσι τῶν ῥημάτων κατὰ τὰς ἰδιότητας τῶν ἐνεργειῶν. εἰσὶ μὲν γὰρ σωματικαὶ διαθέσεις αἱ τοιαῦται, τρίβω σε, νίπτω σε, ῥήσσω σε, ἕλκω σε, βιάζομαι, χαλῶ, γυμνάζω, νύσσω, κινῶ, ξύω, σμῶ, βρέχω, τύπτω, παίω, λούω, δεσμεύω, λύω, πλήσσω, φονεύω, κτείνω, φθείρω, καίω, φλέγω, θερίζω, ζημιῶ, βλάπτω. καὶ σωματικῶς καὶ ψυχικῶς ὑβρίζω· καὶ γὰρ καὶ διὰ χειρῶν καὶ ψυχικῆς διαθέσεως, καθὸ ἔχει καὶ τὸ λοιδορῶ καὶ τὸ κακολογῶ, ἀνιῶ, λυπῶ. καὶ ὅσα ἐπ' ἐγκωμίων, ὑμνῶ σε, μεγαλύνω σε, ἀδω, μέλπω, δοξάζω, κλείω, ἀφ' οὗ καὶ τὸ κλέος, αἰνῶ. καὶ ἐπὶ τῶν διακρουστικῶν, παραλογίζομαί σε, κλέπτω, ἀπατῶ, περιγελῶ, παίζω, ἀπαφῶ, ἐξαπατῶ, πλανῶ. καὶ ὅσα κατ' ἀπόστασιν τῶν ὑποκειμένων, ὡς ἐπὶ τοῦ ζητῶ σε ἢ εὑρίσκω. καὶ ὅσα ἐν ἐπικρατείᾳ, ἔχω, κρατῶ, φυλάσσω, τηρῶ, ἄρχω. καὶ τὸ μὲν ἐρίζω σοι, παλαίω σοι καὶ τὰ τούτοις ὅμοια δοτικὴν παραδέχεται διὰ λόγον ὃν ἐκθησόμεθα· τό γε μὴν νικῶ ἐν ἐπικρατείᾳ σπάνιον γενό-

μενον αἰτιατικῇ συμφέρεται. ὁμοίως καὶ αἱ σεπτικώτερον παραλαμβανόμεναι συντάξεις, τιμῶ σε, σέβομαί σε — πολλῶν γὰρ ἀποφάνσεις ἐνεργειῶν, ὧν περιληπτικόν ἐστι τὸ σέβομαι —, ἐντρέπομαι, αἰσχύνομαι, προσκυνῶ, θωπεύω, κολακεύω, ἄζομαι. καὶ ὅσαι ἐν ἐπινοίᾳ εἰσὶ ψυχικῆς διαθέσεως, συντείνουσαί ἐπί τι, οἷον μαί σε, ὑπολαμβάνω, ὑπονοῶ, ὑφορῶμαι.

Καὶ τὰ προαιρετικὰ δὲ τῶν ῥημάτων τὰ τῆς διαθέσεως ἔχει συντείνοντα πρὸς αἰτιατικὴν πτῶσιν ἐπὶ πάντα τὰ ῥήματα, ὧν ἐστι καὶ ἐλλιπῆ, εἰ γένοιτο ἐκ πρώτου πρὸς τὸ δεύτερον καὶ τρίτον ἢ ἐκ τρίτου πρὸς δεύτερον καὶ πρῶτον· ὅ περ ἔστιν ἐπιτομώτερον φράσαι, εἰ ἐν διαβάσει εἴη τὰ τοῦ προσώπου. τὸ γὰρ βούλομαι φιλολογεῖν, προαιροῦμαι ἀναγινώσκειν οὐ δέονται τῆς προσδιαστελλούσης ἀντωνυμίας, ἐπεὶ δυνάμει ἐν αὐτοπαθείᾳ ἔχει τὰ τῆς συντάξεως, ἐπεί τοι πάλιν ἦν ὁ λόγος τοιοῦτος, βούλομαι ἐμαυτὸν πλουτεῖν, βούλομαι ἐμαυτὸν περιπατεῖν, τουτέστι διατίθεμαι εἰς τὸ περιπατεῖν, εἰς τὸ πλουτεῖν. τοῖς γοῦν διαβιβαζομένοις προσώποις ἀναγκαῖον τὸ ἀντωνυμικὸν ἐγγενέσθαι, βούλομαί σε γράφειν, βούλομαί σε Διονύσιον φιλεῖν· εἰ γὰρ μὴ τῇδε γένοιτο, πάλιν συνδρομεῖται τὸ ἀπαρέμφατον τῷ βούλομαι καὶ οὐ τῶν αὐτοπαθῶν ὄντων, συμπαραλαμβανομένης

μὲν τῆς ἑμαυτόν ἀντωνυμίας, ἐὰν καὶ τὸ ῥῆμα ἐπὶ πλαγίαν φέρηται, οὐ συμπαραλαμβανομένης δέ, εἰ μὴ τῆδ' ἔχοι. τοῦ μὲν προτέρου ἐστὶ τὸ γυμνάζω σε-βούλομαι γυμνάζειν ἑμαυτόν, δέρω σε-βούλομαι δέρειν ἑμαυτόν· τοῦ δὲ δευτέρου ἐστὶ πλουτῶ ἀδιαβίβαστον, ἐξ οὗ οὐ πάντως ἐπιζητήσει τὸ βούλομαι πλουτεῖν ἑμαυτόν, ἀλλὰ καὶ χωρὶς τῆς ἀντωνυμίας. ταὐτὸ χαπὶ τοῦ βούλομαι περιπατεῖν καὶ τῶν ὁμοίων, ὥστε συνάγεσθαι τὸ ἐκ μὲν τῆς προτέρας συντάξεως πάντως ἐπιζητεῖν τὴν ἑμαυτόν ἀντωνυμίαν, ὡς ἐν τῷ βούλομαι βλάπτειν, βούλομαι φιλεῖν, οὐ μὴν ἐπὶ τοῦ περιπατεῖν, τρέχειν καὶ τῶν ὁμοίων. Ἴσως τις οἰήσεται τὸ βούλομαι, προαιροῦμαι, θέλω, τὰ τούτοις ὅμοια ἐπὶ αἰτιατικὴν πτῶσιν μὴ φέρεσθαι, τὰ μὴν συμφερόμενα ῥήματα. ἔστω γάρ τι βλάπτω σε, γράφω σε, ἀφ' οὗ ἂν γένοιτο θέλω σε βλάπτειν, θέλω σε γράφειν, ὥστε τῶν ἀπαρεμφάτων εἶναι τὴν σύνταξιν, μὴ τῶν ἐγκειμένων ὁριστικῶν, καὶ ἔτι ἐξ ἐκείνου πιστώσεται, ὡς τὸ ἀκούειν ἐπὶ γενικὴν φερόμενον· διὸ καὶ ἕνεκα τούτου πάλιν τὸ θέλω ἀκούειν Διονυσίου γενικὴν σύνταξιν ἀνεδέξατο ἕνεκα τοῦ τὰ ἀκούω ἐπὶ γενικὴν φέρεσθαι. Ἔστι δὲ τοιοῦτο λῆρος. ὡς γὰρ προείπομεν, πάντως τὰ προαιρετικὰ ἐπ' αἰτιατικὴν

φέρεται, προσλαμβάνοντα ἑτέραν πτῶσιν, ἐὰν καὶ τὸ συνταττόμενον ἀπαρέμφατον ἐκ ῥήματος συνεστὼς τοῦ φερομένου ἐπὶ πλαγίαν πτῶσιν· εἰ γὰρ μὴ τῇδε ἔχοι, μόνη αἰτιατικὴ παραλαμβάνεται ἡ ἐκ τοῦ προαιρετικοῦ. Τοῦ μὲν προτέρου λόγου θέλω σε ἀκούειν Διονυσίου· παρείληπται γὰρ ἡ σὲ αἰτιατικὴ διὰ τὸ θέλω, ἥ γε μὴν γενικὴ, λέγω ἡ Διονυσίου, διὰ τὸ ἀκούειν. πάλιν ἔστι τι σοὶ χαρίζομαι, καὶ πάντως γενήσεται θέλω σε χαρίζεσθαι Διονυσίῳ, προσγενομένης πάλιν τῆς αἰτιατικῆς καθ' ὃν εἴπομεν λόγον, συνούσης δοτικῆς διὰ τὸ χαρίζεσθαι. ἐνθεν δὴ καὶ δύο αἰτιατικαὶ ἀναμύττουσιν, εἰ καὶ τὸ ῥῆμα ἐπ' αἰτιατικὴν πάντως φέροιτο, ὡς ἔχει τὸ βλάπτω σε· θέλω σε βλάπτειν Διονύσιον· θέλω Διονύσιον βλάπτειν Ἀπολλώνιον, περὶ ὧν καὶ τῆς ἀμφιβολίας διελεξάμεθα. Τοῦ δευτέρου ἦν τὸ πλουτῶ ἀδιαβίβαστον, τὸ περιπατῶ, τὸ ζῶ, ἄλλα πλεῖστα. οὐ δὴ ἐν τῷ βούλομαί σε ζῆν λείπει ἑτέρα πτῶσις διὰ τὸ ἀδιαβίβαστον τοῦ ῥήματος, ἡ μέντοι αἰτιατικὴ ἔγκειται ἡ προσγενομένη ἐκ τῆς προαιρετικῆς συντάξεως. Καὶ οὕτως ἀπεδείχθη ὡς τὰ προαιρετικὰ ῥήματα φέρεται ἐπ' αἰτιατικήν.

Καὶ ὅσα ἐπ' ἀναιρέσεως παραλαμβάνεται ἢ ἐπ' ἐρωτήσεως, ἐξετάζω σε, ἀναιρῶ σε,

ἐγὼ δ' ἰρήνην ἀπάσας.

καὶ ἕνεκα τούτου τὸ πεύθετο καταλλήλου ἔχεται φερόμενον ἐπ' αἰτιατικὴν πτῶσιν κατὰ τὴν Ὁμηρικὴν χρῆσιν, σημαῖνον τὸ ἤκουε, τὸ ἐν τῷ

πευθόμενθ' ἥχι ἕκαστος

καὶ

πεύθετο γὰρ Κύπρονδε,

οὐχ ὅτι κατὰ πεύσεως παραλαμβάνεται ἐν τῷ πυνθάνομαι σοῦ· πρόκειται γὰρ ἡ συζυγία τῶν τοιούτων ἐπ' αἰτιατικὴν φερομένη. Ὁμοίως καὶ τὰ ἐπ' οἶκτον παραλαμβανόμενα, ὡς ἐπὶ τοῦ μύρεσθαι, ὀδύρεσθαι, γοᾶν, κλαίειν, θρηνεῖν, αἰάζειν· τὸ γὰρ οἰμώζειν καὶ αὐτοπάθειαν σημαίνει. Καὶ ὅσα κλῆσιν ὑπαγορεύει, φωνῶ σε, βοῶ σε, κλήζω, καλῶ· προφανὴς ἡ γινομένη ἐνέργεια ἐκ τῶν εὐθειῶν ἐπὶ τὴν αἰτιατικήν. Καὶ ἕνεκα τοῦ τοιούτου ἐπιστάσεως ἄξια τὰ τοιαῦτα, τρέμω σε, φεύγω σε, φρίσσω σε, τοῦτον φοβοῦμαι, ὡς οὐδεμιᾶς ὄντα ἐνεργείας ἐμφαντικὰ φέρεται ἐπ' αἰτιατικήν. μᾶλλον γὰρ αὐτοπάθειαν σημαίνει τὸ φρίσσειν καὶ τρέμειν διὰ φόβον, καὶ ἔτι τὸ φεύγειν καὶ τὰ παραπλήσια, συνεπισχύοντος καὶ τοῦ μὴ γίνεσθαι ἐπὶ τῶν τοιούτων συντάξεων παθητικὰς διαθέσεις. εἰ γὰρ τῆς αὐτῆς συντάξεως εἶχετο τῷ ὑβρίζω σε, δέρω σε τὸ φρίσσω σε καὶ τὸ τρέμω σε, καὶ πάντως

εἶχεν

εἶχεν ἀντιπαραπείμενα τὸ τρέμομαι, φεύγομαι, φρίσσομαι, ὁμοίως τῷ ὑβρίζομαι, δέρομαι. χρὴ οὖν νοεῖν ὅτι οὐ μόνον ποιητικὴ ἄδεια ἐν ἐλλείψει λέξεων καταγίνεται, ἀλλὰ καὶ συνήθεις λόγοι. λείπειν φαμὲν τὸ

ὁρμήθει πεδίοιο

τῇ διὰ προθέσει,

τὸ καὶ οὔ τι πολὺν χρόνον,

τοῦ ἐντελοῦς ὄντος

διίθυσε μάχη πεδίοιο,

τῇ διά. ἔστι δὴ οὖν καὶ ἡ προκειμένη σύνταξις ἐν πλήρει λόγῳ καθισταμένη οὕτω τρέμω 286 διὰ σέ, φεύγω διὰ σέ· ὁ αὐτὸς λόγος κἀπὶ τοῦ φρίσσω, φοβοῦμαι καὶ τῶν ὁμοίων. καὶ διὰ τοῦτο εὔλογος ἡ ὑποπαραίτησις τῶν παθητικῶν σχημάτων. Καὶ ὅσα παρορμητικά ἐστιν, ὡς τὸ ὀτρύνειν, ἐρεθίζειν, ὀρίνειν, παρορμᾶν, διεγείρειν. Καὶ ὅσα ἱκετείαν σημαίνει,

γουνοῦμαί σε ἄνασσα,

ἐρωτῶ σε νῦν ἐν ἴσῳ τῷ παρακαλῶ σε, λιτανεύω, ἱκνοῦμαι,

τὴν ἰκόμην φεύγων

ἀντὶ τοῦ ἱκέτευσα,

τούνεκα νῦν τὰ σὰ γούνατ' ἰκάνω πολλὰ μογήσας.

καὶ δῆλον ὅτι τὸ δέομαι σοῦ οὐ κατὰ τῆς αὐτῆς ἐννοίας παραλαμβάνεται· τοσοῦτο γάρ τι σημαίνει, τῆς σῆς βοηθείας λείπομαι.

Καὶ ὡς προείρηται, πολυμερεστάτη ἐστὶν ἡ κατ' αἰτιατικὴν σύνταξις, ἐνὶ συμφωνοῦσα τῷ ἀναδέχεσθαι τὴν ἐξ εὐθείας ἐνεργητικὴν διάθεσιν, ὁρκίζω σε, πείθω σε, καλίζω σε, σωφρονίζω σε, διδάσκω, θλίβω, θερμαίνω, ψύχω, διατιθῶ. αὐτάρκης δὲ εἰς ἀφορμὴν τῶν ὑπολοίπων ῥημάτων ἡ προκειμένη σύνταξις καθέστηκεν.

Ἴσως δόξει μὴ ἐξωμαλίσθαι ἡ ἐκ τῶν αἰσθήσεων ἐνέργεια, ἐπεὶ αὐτὸ τὸ αἰσθάνεσθαι ἐπὶ γενικὴν φέρεται, καὶ ἔτι τὰ μερικώτερον παραλαμβανόμενα, τὸ ἀκούειν, τὸ ὀσφραίνεσθαι, γεύεσθαι, ἅπτεσθαι· οὐ μὴν ἔτι τὸ βλέπειν — ἐπὶ γὰρ αἰτιατικὴν φέρεται — καὶ τὰ τούτῳ συνωνυμοῦντα, ὁρῶμαί σε, θεῶμαί σε,

ὀσσόμενος πατέρ' ἐσθλόν,

λεύσσω, δέρκομαι, ὀπτεύω. καὶ δοκεῖ μοι τὰ τῆς συντάξεως πάνυ δεόντως καθίστασθαι. Αἱ μὲν οὖν ἐκ τῶν αἰσθήσεων διαθέσεις πεῖσιν ἀναλαμβάνουσι τὴν ἀπὸ τῶν ἔξωθεν, εἴ γε καὶ ἀκουσίως ἐπειςιοῦσα τῇ ἀκοῇ ἡ φωνὴ προσδιατίθησι τὸ ὅλον σῶμα· οἵ τε γὰρ τῶν πριόνων ἦχοι καὶ αἱ βρονταὶ οὐχ ὑπεχομένην ἔχουσι τὴν ἀκοὴν τῇ φωνῇ. τοῦ μέντοι πάθους ἐγγίζει ἡ κατὰ γενικὴν σύνταξις, καθὼς εἴπεμεν· οὐ μέντοι μετὰ τῆς ὑπό τὰ τῆς συντάξεως γίνεται, καθὰ καὶ ἐνέργεια σύνεστιν ἡ γε-

νομένη ἐκ τῆς διαθέσεως, ἐπεὶ τὸ ἅπτεσθαι μετ' ἐνεργείας καὶ ἀντιδιατίθεται διὰ τῆς τῶν θερμῶν ἐπαφῆς ἢ ψυχρῶν ἢ ἄλλων τῶν τοιούτων. οὕτως ἔχει τὸ σωφραίνεσθαι, τὸ γεύεσθαι· περισσὸν ἂν εἴη περὶ τῆς τῶν τοιούτων ἀντιδιαθέσεως διαλαμβάνειν· καθὸ πρόδηλόν ἐστιν ὡς ἀεὶ ἡ γινομένη τῶν πικρῶν γεῦσις ἀντιδιατίθησι τὴν γεῦσιν καὶ τῶν δυςωδῶν τὴν ὄσφρησιν. Ἡ γε μὴν ἐκ τοῦ ὁρᾶν διάθεσις ἐνεργεστάτη ἐστὶ καὶ ἐπὶ πλέον διαβιβαζομένη, ὡς καὶκεῖνο μαρτυρεῖ,

οὔ τέ τοι ὀξύτατον κεφαλῆς ἐκδέρκετον ὄσσε.

οὐδὲ γὰρ εἰς τὸ ἀντιπαθεῖν ὑπὸ τῶν ἔξωθεν εὐδιάθετος, ἐπεὶ τὸ προδιατιθὲν εἴργεται ὑπὸ τῆς καταρρύσεως τῶν ὀφθαλμῶν.

Τὸ ἀναγκαῖον τῆς συντάξεως κατήπειξεν ἡμᾶς εἰς τοσαύτην ἐκτροπὴν λόγου συγκαταβῆναι. φαίνεται δ' ὅτι καὶ τὸ φιλεῖν τοῦ ἐρᾶν διοίσει, καθότι ἡ μὲν ἐκ τοῦ φιλεῖν ἐγγινομένη διάθεσις ἐνεργείας ὄνομά σημαίνει· οἱ γοῦν φιλοῦντες παιδεύουσι, πάλιν τῆς διαθέσεως κοινῆς τῆς προκειμένης ἐπ' αἰτιατικὴν συντεινούσης. οὕτως ἔχει καὶ τὸ διδάσκειν καὶ τὸ πείθειν. τό γε μὴν ἐρᾶν ὁμολογεῖ τὸ προδιατίθεσθαι ὑπὸ τοῦ ἐρωμένου. διὸ καὶ δεόντως ἡ Σαπφὼ ἐπιτεταμένῳ μᾶλλον ὀνόματι ἐχρήσατο,

ἐγὼ δὲ καὶ ἡ νοττῶτις ἐρᾶται.

καὶ σαφές ἐστιν ὡς συνετοῦ μέν ἐστι καὶ ἀγαθοῦ τὸ φιλεῖν, καθάπερ καὶ πατέρες παῖδας φιλοῦσιν, οὐ μὴν συνετοῦ τὸ ἐρᾶν, ἀλλ' ἤδη παρεφθορότος τὸ λογιστικόν. Οὐ χρὴ ἄρα ἀπορεῖν ἕνεκα τίνος τὸ μὲν φιλῶ ἐπ' αἰτιατικὴν φέρεται, τὸ δὲ ἐρῶ ἐπὶ γενικήν.

Καὶ τὸ κήδεσθαι δὲ καὶ προνοεῖσθαι καὶ φροντίζειν, ἐπὶ γενικὴν φερόμενα, μετ' ἐνεργείας τῆς τοῦ φροντίζειν ἔχει ἐγκείμενον καὶ τὸ πάσχειν ὑπέρ τινων, καὶ εὐλόγως τὰ τῆς γενικῆς συμπαρείληπται.

Ὁμοίως ἐπὶ γενικὴν φέρεται καὶ ὅσα ἐπικράτειάν τινων σημαίνει εἰς τὴν τῶν ὑπερεχόντων ἢ κυριευόντων διάθεσιν κατὰ λόγον οὐκ ἀπίθανον. προφανὲς γάρ ἐστιν ὡς χωρὶς γενικῆς κτῆμα οὐκ ἔστιν ἐπινοῆσαι. διὰ τοῦτο τὰ κτητικὰ εἰς γενικὰς ἀναλύεται καὶ ἀπὸ γενικῶν παράγεται ἔν τε ὀνόμασιν ἔν τε ἀντωνυμίαις, ἁπάντων τῶν δυναμένων κτῆσιν ἀναδέξασθαι. διὰ τοῦτο τὸ μὲν νέα πόλις καὶ τὰ ὅμοια δύο ὀνόματα καθεστῶτα ἐν ἰδίοις τάνοις δὶς κλίνεται, οὐ μὴν τὸ κόρακος πέτρα ἢ ὑὸς κύαμος, ὄναρ γνάθος, Ἀχαιῶν λιμήν· κλιθείσης γὰρ τῆς γενικῆς συνοίχεται καὶ τὰ τῆς ἐπικρατήσεως. Ἔστι γοῦν ἡ προκειμένη συζυγία τῶν ῥημάτων τοιαύτη. κτῆμα τῶν βασιλέων οἱ ὑπόντες. διὰ τοῦτο βασιλεύω τούτων, ἡγεμονεύω, στρατηγῶ, τυραννῶ. διὰ τοῦτο ἀπαράδεκτος ἡ δοτικὴ ἐν τῷ

Μυρμιδόνεσσιν ἄνασσε

ἡ γὰρ τοῦ ἄνασσε σύνταξις τὴν γενικὴν ἀπήτησεν. οὕτως ἔχει τὸ κυριεύω, δεσπόζω, κρατῶ, ἄλλα πλεῖστα τῆς ἴσης ἐννοίας ἐχόμενα. Εἰκός τινα φήσειν ὡς τὰ τοῦ λόγου ἀντέστραπται. ἐν γὰρ τοῖς ὀνόμασιν ὁ ἐπικρατῶν ἐν γενικῇ νοεῖται πτώσει ὅ τε ἐπικρατούμενος ἐν εὐθείᾳ, Ἀριστάρχου δοῦλος, βασιλέως οἰκέτης· ἔν γε μὴν τῇ προκειμένῃ συντάξει ὁ μὲν ἐπικρατῶν νοεῖται ἐν εὐθείᾳ, ὁ δ' ἐπικρατούμενος ἐν γενικῇ· δεσπόζω γὰρ ἐγὼ τούτων καὶ ἔτι κυριεύω. Πρὸς ὃν ἂν φήσαιμεν, τὸ πρῶτον, οὐ τὸ ταὐτὸ μέρος λόγου ὄνομα καὶ ῥῆμα, καὶ εἰ τοῦτο, οὐ πάντως καὶ τὰ τῆς συντάξεως εἰς ταὐτὸ συνελεύσεται, ἢ ἓν μόνον αἰτήσει τὴν γενικήν, ἧς χωρὶς οὐδέποτε κτῆσις ἐπινοεῖται. Δεύτερον πάνυ ἀναγκαίως τὰ τοῦ λόγου ἀντεστραφη. ῥημάτων γὰρ συντάξεις ποιούμεθα πρὸς πτωτικά, τὰ δὲ ῥήματα πτῶσιν ἔχει ὀρθὴν παρυφισταμένην ἢ καὶ συμφέρεται, ἐκ δ' αὐτῶν ἤρτηται ἡ διάθεσις τῆς ἐπικρατείας, ἥ τις οὐκ ἂν νοοῖτο ἐκ γενικῆς πτώσεως, καθὼς προείρηται. ἀνάγκη οὖν πᾶσα τὸ παρυφισταμένον πρόσωπον ἐκ τῶν ῥημάτων ἐν πτώσει ὀρθῇ καταγίνεσθαι, τὸ δὲ τούτου πρόσωπον ἀνθυπαγόμενον μὴ ἐν ἄλλῃ πτώσει καταγίνεσθαι ἢ τῇ γενικῇ, ἧς ἄνευ οὐ συνίσταται κτητικὴ σύνταξις, καθὼς προείπομεν. Ἔστι

γοῦν κἀκεῖνο ἐκ τρίτου προσθεῖναι, ὡς καὶ τὰ ἐξ αὐτῶν παρυφισταμένα ὀνόματα πάλιν γενικὰς ἀπαιτεῖ. τῷ τυραννῶ ὁ τύραννος παράκειται, καὶ μία σύνταξις ἡ ἐξ ἀμφοτέρων. ὁ αὐτὸς λόγος ἐπὶ τοῦ βασιλεύς καὶ βασιλεύω, στρατηγός - στρατηγῶ, δεσπότης - δεσπόζω, κύριος - κυριεύω.

Χωρητέον δὲ καὶ ἐπὶ τὰ τῇ δοτικῇ συντασσόμενα. Καὶ δὴ ἅπαντα τὰ περιποίησιν δηλοῦντα, εἴτε καὶ τῶν ἐν λόγῳ εἴτε καὶ τῶν ἐν σώματι, ἐπὶ δοτικὴν φέρεται, ὡς ἔχει τὰ τοιαῦτα, λέγω σοί, ὡςεὶ λόγου σοι μεταδίδωμι· σαφὲς γὰρ ὅτι τὸ λέγω σε κλέπτην τοιοῦτόν τι σημαίνει, δι' οὗ προῆμαι λόγου ὁρίζομαί σε δεδρακέναι τὰ τῆς κλοπῆς. καὶ δεόντως πάλιν τὰ τῆς ἐνεργείας τῆς διὰ τοῦ λέγειν ἐπὶ δοτικὴν συνέτεινε, καθά περ καὶ ἐπὶ σώματος τέμνω σοί, ὡςεὶ περιποιῶ σοί τι μέρος τοῦ σώματος· τό γε μὴν τέμνω σέ πάλιν, τὴν ἐνέργειαν ἐπιφέρον κατὰ τοῦ ὑποκειμένου, συνῆλθεν ὁμοίως εἰς τὴν αἰτιατικὴν σύνταξιν. Ἐφ' ὧν δὴ συντάξεων χρὴ νοεῖν ὡς οὐ τὸ ἐκ τῆς δοτικῆς πρόσωπον νοούμενον ὁμολογήσει τὸ τέμνομαι, εἴ γε αὐτῷ μὲν τὰ τῆς ἐνεργείας οὐ προ-
991 διετέθη, τῇ μέντοι ἐγκειμένῃ αἰτιατικῇ, ἧς καὶ μόνης ἂν εἴη τὸ παθητικόν, λέγω τὰ τέμνομαι. ὁ αὐτὸς λόγος ἐπὶ πάντων τῶν οὕτω νοουμένων. ᾄδω σοί, καὶ δῆλον ὡς οὐ τούτῳ πα-

θητικὸν τὸ ᾄδομαι, τοῦ δὲ ᾄδω σέ· καὶ κωμῳδῶ σοί καὶ κωμῳδῶ σέ, ὑμνῶ σέ, κιθαρίζω σοι, τραγῳδῶ σοι, ἀναγινώσκω σοι, φαίνω σοι, κιρνῶ σοι, στορνύω σοι, δωροῦμαι, χαρίζομαι, αὐλῶ σοι, δ νῦν τῆς συντάξεως περιποίησίν τινα τοῦ αὐλεῖν σημαινούσης. ἑτέρας γὰρ ἐννοίας ἔχεται τὸ αὐλῶ τοῖς αὐλοῖς, τοῦ αὐλεῖν ἀκουομένου κατὰ μὲν τὴν προτέραν σύνταξιν ἐκ συναμφοτέρου, λέγω τῆς ἐνεργείας τοῦ αὐλεῖν καὶ αὐτῶν 10 τῶν αὐλῶν, ἐξ ἧς ἐστὶ τὸ αὐλῶ τοῖς θεαταῖς· τῆς δὲ ἑτέρας συντάξεως, ὅτε τὸ αὐλεῖν σημαίνει τὴν εἴδησιν τῆς αὐλήσεως, ἐξ ἧς γίνεται τὸ τοῖς αὐλοῖς αὐλεῖν ἐν ἴσῳ τῷ διὰ τῶν αὐλῶν τὰ τῆς τέχνης ἐπιδείκνυσθαι, κα- 15 θάπερ ἡ διὰ τῶν ὀργάνων ἐναλλαγὴ γινομένη ἀποτελεῖ τὸ συρίζειν τοῖς αὐλοῖς ἢ αὐλεῖν τῇ σύριγγι. Τὸ τοιοῦτον ἔστιν ἐπινοῆσαι καὶ ἐπ' ἄλλων ῥημάτων, εἴ γε τὸ ἀκούειν ποτὲ μὲν σημαίνει αὐτὴν τὴν μετάληψιν τῆς ἀκοῆς, ὡς 20 ἔχει ἐπὶ τῶν ἤχων καὶ βόμβων καὶ φωνῶν καὶ βραντῶν καὶ πασῶν τῶν οὐκ ἐγγραμμάτων, ἐξ οὗ καί φαμεν ὀξυηκόους τινὰς εἶναι· ἀλλ' ἔστιν ὅπου τὸ συνιέναι τῶν ἠκουσμένων. τὸ γὰρ 25

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχή

29a οὐχ ἁπλοῦν τι σημαίνει, ὡς οὐκ ἔλαθεν αὐτὸν ἡ φωνή, ἀλλὰ τοιοῦτόν τι, μεταλαβὼν τῆς

φωνῆς συνῆκε καὶ τὴν ἐν τοῖς πολέμοις πρᾶξιν. φαμὲν δέ γε καὶ οὕτως, οὐκ ἀκούει ὁ δεῖνα τῶν λεγομένων, τουτέστι τῆς μὲν φωνῆς μεταλαμβάνει, οὐ μὴν τῶν δι' αὐτῆς λεγομένων. ἔστι καὶ τρίτου, ἡνίκα νοεῖται τὸ συγκατατίθεται τοῖς ὑπ' ἐμοῦ λεγομένοις, ἀκούει μου ὁ δεῖνα ἐπήκοός μού ἐστι, καὶ πάλιν οὐκ ἀκούει, ἐξ οὗ γίνεται τὸ ἀνήκοός ἐστιν ὁ δεῖνα. τοιοῦτόν ἐστι καὶ τὸ

οὐδ' ἐξάκουσε πολύτλας δῖος Ὀδυσσεύς·

ἢ γὰρ κατὰ τὸν πρῶτον λόγον, οἷον τῆς φωνῆς οὐ μετέλαβε διὰ τὸν ἐπιόντα θόρυβον· ἢ μετέλαβεν, οὐ μὴν τῷ Διομήδει ἐπείσθη ἀντιστατοῦντος τοῦ θεοῦ. εἰς τοῦτο γοῦν τινὲς ἀναφέρουσι τὸ

Τυδείδη, μήτ' ἄρ με μάλ' αἶνει μή τέ τι νείκει,

ἐφ' οὗ δύναιτο ἂν παραιτησάμενος τὸ ἄγαν ἐπαινεῖσθαι συμπαραιτεῖσθαι καὶ τὸ μὴ ὀνειδίζεσθαι· ἁρμόζει γοῦν τὸ ἐπιφερόμενον πρὸς ἀμφότερα,

εἰδόσι γάρ τοι ταῦτα μετ' Ἀργείοις ἀγορεύεις.

Οὕτως ἔχει τὸ ἀναγινώσκω. ἔσθ' ὅτε γὰρ ἀκούεται αὐτὸ μόνον ἁπλῆ ἀναγνωσις, ἡνίκα καὶ παῖς φησὶν οὐκ ἀνέγνων. ἢ καὶ τὸ συναμφότερον αὐτῶν, λέγω δὲ τὸ ἐν διανοίᾳ καταγίνεσθαι τῶν ποιημάτων· φαμὲν γὰρ οὐκ ἀνέγνω

ὁ δεῖνά Ἀλκαῖον, οὐκ ἀνέγνω Ὅμηρον. Ἔστιν ἐπ' ἄλλων τὸ τοιοῦτον ἐπιδεῖξαι, ἃ περ νῦν οὐκ ἐπιζητεῖ ἡ προκειμένη σύνταξις· πρου-
293 θέμεθα γὰρ ἅπαξ τὰς πλαγίας συντάξαι τοῖς ῥήμασιν, οὐ μὴν τὰ ποικίλως παρυφιστα-
5 νόμενα ἐκ τῶν ῥημάτων. καὶ οὕτω δὲ ἔχει τὸ αὐλῷ τῇ γουμνίᾳ, σαφὲς ὅτι πάλιν φέρεται ἐπὶ τὴν περιποίησιν τῶν ἀκροωμένων· ἓν μὲν γὰρ τῷ καταστήματι γίνεται τὰ τῆς ἐνεργείας, περιποιεῖταί γε μὴν τοῖς ἀκροωμένοις.
10

Τὸν αὐτὸν δὴ τρόπον, ὡς ἔφαμεν, ἔχει καὶ τὰ ἐπὶ τῶν σωμάτων, φέρω σοί, ἄγω σοί, πάλιν διαφορᾶς οὔσης τοῦ φέρω σέ καὶ ἄγω σέ. ὥστε ὁμολογεῖσθαι ὡς ἅπασα τοιαύ-
15 τη δοτικὴ συνέχει ἐν ἑαυτῇ τὴν αἰτιατικήν, ἣ καὶ ἔξωθεν προσλαμβάνει, ἄγω σοι τὸν παῖδα, φέρω σοι τὸν οἶνον, τέμνω σοι τὸ κρέας, ἀναγινώσκω σοι Ἀλκαῖον, κωμῳδῶ σοι τοὺς Ἐπιτρέποντας· ὧν, ὡς ἔφαμεν,
20 καὶ αἱ παθητικαί εἰσι συντάξεις. οὐκ ἀπιθάνως δή μοι Ὅμηρος δοκεῖ οὐδὲ ἐν τῇ τοιαύτῃ συντάξει τῶν πτώσεων προτίθεσθαι τῆς αἰτιατικῆς, καθότι καὶ ταύτης ἐστὶν ἐμπεριεκτική.

Ὁμοίως δὲ καὶ ἐπὶ δοτικὴν φέρεται καὶ τὸ
25 ὑπηρετῶ σοι, δουλεύω σοι, ἑπομαί σοι, ἀκολουθῶ σοι, ἥκω σοι· τῶν γὰρ ἐν αὐταῖς ἐγκειμένων ἐνεργειῶν εἰσὶ περιποιητικαί. τὸ γὰρ δουλεύειν πάσης ὑπηρεσίας ἐμπεριεκτικόν, ἧς

τὰ εἴδη πάλιν ἐπιμεριζόμενα τῇ ἐνεργητικῇ διαθέσει τὴν αἰτιατικὴν ἀπαιτεῖ, τρίβω σε, λούω σε, νίπτω σε, κείρω, κοσμῶ, σμῶ, ἀναδῶ, ἐμπλέκω, λαμπρύνω, φαιδρύνω. Καὶ τὸ εἶκειν δέ, πάσης ἀντιθέσεως ἐμπε- 5
204 ρεκτικὸν ὄν, καὶ τὸ ὑποχωρεῖν πᾶσι τῷ αὐτῷ λόγῳ εἰς δοτικὴν κατήντησε.

Καὶ τὰ ἐξ ἴσης διαθέσεως ἀναγόμενα, τουτέστι τὰ ἐν δυσὶ προσώποις τὴν αὐτὴν ἔχοντα ἐνέργειαν κατ' ἀλλήλων, ἐν δοτικῇ κατα- 10
γίνεται, ὡς ἔχει τὸ μάχομαί σοι, παλαίω σοι, γυμνάζομαί σοι, ἱππάζομαι, ἀνθιστάνομαι, μονομαχῶ, παγκρατιάζω. Καὶ ὅτι μὲν ἔδει τὰ τοιαῦτα ἐπὶ πλαγίαν φέρεσθαι, παντὶ προῦπτον ἐγκειμένης διαβιβα- 15
στικῆς διαθέσεως ἐπὶ πρόσωπον ὑποκείμενον, ὡς κατ' ἀρχὰς εἴπομεν, δυνάμενον ὁμολογῆσαι τὴν εἰς αὐτὸ χωρήσασαν διάθεσιν νοεῖται γοῦν ἐπὶ δύο ἐμψύχων τὸ παλαίειν, τὸ παγκρατιάζειν. ἀλλ' οὖν γε ἡ μεγίστη ἐνέργεια ἀπαιτή- 20
σασα αἰτιατικὴν εἰς ἓν μόνον καταγίνεται τὸ διατίθεσθαι ἐξ εὐθείας, μὴ μὴν προσδιατιθέναι, ὡς ἔχει τὸ δέρω σε, τύπτω σε, παίω σε· ὁ γὰρ οὕτως ὁριζόμενος οὐχ ὁμολογεῖ τὸ ἀντιπαίεσθαι. οὐ δὴ οὖν τὰ προκείμενα 25
ῥήματα τοιοῦτον ἐπηγγέλλετο, καὶ σαφὲς ὅτι ἕνεκα τούτου οὐδὲ ἐπιδέξεται αἰτιατικήν· ἦν γὰρ ἐγκειμένη ἡ αὐτὴ διάθεσις ἐκ τοῦ ἑτέρου προς-

ἄπτου, τὸ ἀντιπαίεσθαι τὸν παγχρατιάζοντα. Τί οὖν εἰς δοτικὴν ἐχώρησεν; ὅτι καὶ ἡ γενικὴ ἐμερίζετο εἰς παθητικὴν διάθεσιν. ἀποστήσεται ἄρα ἀμφοτέρων τῶν πτώσεων ἡ τοιαύτη σύνταξις, καὶ οὐκ ἄλλην ἐπιδέξεται ἢ μόνην τὴν δοτικήν, ἐξ ἧς καὶ εὔφικτον τὸ ἀντιπερπαιούμενον τῶν διαθέσεων. ἔστι γοῦν μεταδικὴ μὲν διάθεσις ἡ γυμνάζω σέ, ἀντιπερπαιομένη δὲ ἐκ τοῦ ἴσου ἡ γυμνάζομαι σοί· ἱππάζω σέ, ἐξ ἧς τὸ παθητικὸν ἱππάζομαι ὑπὸ σοῦ καὶ πάλιν τὸ ἐξ ἴσου ἀναγόμενον ἱππάζομαι σοί. πλεῖστα καὶ εἰς τοῦτον ἔστι παραθέσθαι, ἃ περ παραπεμπτέον. Οὕτω δ' οἶμαι ἔχει καὶ τὸ πείθομαί σοι ὑπὸ σοῦ καὶ οὐκ ἄλλο τι σημαίνει τὸ πείθομαί σοι ἢ τὴν ἐξ ἀλλήλων πρὸς ἀλλήλους γινομένην πεισμονήν.

Ἔστι καὶ ἐπὶ τρίτου προσώπου τὰ μέλει καὶ μεταμέλει δοτικῇ συντασσόμενα, ὡς ἔχει τὸ μέλει. Τρύφωνι καὶ ἐν μετανοείαις ἃ περ παρὰ τὴν τῶν ἄλλων ῥημάτων σύνταξιν ἐξήλλαπται, καθὰ πάντα μετευθεῖα σωτάσσεται μόνῃ, ὡς Θέογν περιπατεῖ, ἢ σοὶ συντείνει πλανᾶσθαι, περὶ ἧς καὶ τὴν σύνταξιν ἐποιησάμεθα. οὐ μὴν τοῖς πραττομένοις τὸ τοιοῦτον σύνεστι μεταμέλει γὰρ Σωκράτει καὶ ἔτι μέλει, τῆς ἀρθῆς οὖν συνουσίας διὰ καὶ παρασυμβάματα αὐτὰ ἐκαλέσαμεν οἱ περὶ τὴν στοάν,

τῶν ἄλλων ῥημάτων κατὰ τὰς συμβαινούσας διαθέσεις παρ' αὐτοῖς συμβαμάτων προσαγορευομένων ἢ καὶ ἔτι κατηγορημάτων· καὶ τὸ μὲν ἀπαρτίζον τὴν διάνοιαν παρασύμβαμα, λέγω τὸ μέλει Σωκράτει, τὸ δὲ ἐλλειπτικὸν ἔλαττον ἢ παρασύμβαμα, λέγω δὴ τὸ μέλει καὶ μεταμέλει. Ὃ περ ἐπινοῶ καὶ αὐτὸ ἀναδέχεσθαι νοουμένην εὐθεῖαν τὴν κατὰ τοῦ παρυφισταμένου πράγματος ἐν τῷ μέλει.
300 παρὸν δὲ τὸν λόγον οὕτω πιστώσασθαι. δίδοται ὅτι τὸ μέλει ῥῆμα τρίτου προσώπου ἐστί, καὶ σαφὲς ὅτι ἐκ πρώτου καὶ δευτέρου γεγενημένον, λέγω τοῦ μέλω, μέλεις. καὶ εἰ δίδοται τὰ τῆς συντάξεως τοῦ πρώτου καὶ δευτέρου μενεῖναι καὶ ἐπὶ τὸ τρίτον, λέγω κατὰ τὰς πτώσεις καὶ τοὺς ἀριθμούς, ὡς ἐπὶ τοῦ ἐγὼ φροντίζω-σὺ φροντίζεις-ἐκεῖνος φροντίζει, δεθήσεται καὶ ἐπὶ τοῦ μέλω. ἔστιν οὖν τὸ ἐγὼ μέλω σοί ἐν εὐθείᾳ καὶ δοτικῇ, καὶ ἔτι σὺ μέλεις ἐμοί· ὃ περ ἀπαιτήσει κατὰ τὴν σύνταξιν ἐν τρίτῳ, ἐν τῷ μέλει Σωκράτει, οὐκ ἄλλο τι ἢ τὸ παρυφισταμένην πρᾶγμα ἐν εὐθείᾳ νοούμενον. τοιοῦτο γάρ ἐστι τὸ νοούμενον, μέλει τὸ φιλοσοφεῖν Πλάτωνι-φροντίδα Πλάτωνι ἐμποιεῖ ἡ φιλοσοφία, μέλει Θέωνι τὸ πλουτεῖν-ὁ πλοῦτος φροντίδα ἐμποιεῖ Θέωνι τοῦ πλουτεῖν. χρὴ οὖν νοεῖν ὅτι τὸ μέλει Σωκράτει ἐν τῷ ὑπακουομένῳ πράγματι

τὴν εὐθεῖαν ἔχει. Ἔστιν οὖν τὸ αἴτιον τοῦ καὶ μόνον τὸ μέλει παραλαμβάνεσθαι τὸ δεκτικὸν αὐτὸ εἶναι παντὸς τοῦ ἐπισυμβαίνοντος πράγματος. διὸ τὸ μέλει Θέωνι ἐδόκει ἐν αὐτοτελείᾳ καθίστασθαι· παντὸς γὰρ τοῦ παρυφισταμένου πράγματος κοινῶς ὑπακουομένου περὶ παντὸς ἐπισυμβαίνοντος, ὡς ἔφαμεν, τὸ μέλει ῥῆμα παραλαμβάνεται.

Καὶ τοσαῦτα εἴχομεν φάναι περὶ ἧς προεθέμεθα ἐκθέσθαι συντάξεως τῶν ῥημάτων
297 πρὸς τὰς πλαγίας, ἐκείνου προδήλου καθεστῶτος, ὡς οἱ διάφοροι χρόνοι ἐν τῇ κλίσει καὶ ἔτι τὰ διάφορα πρόσωπα αἵ τε ὑπόλοιποι ἐγκλίσεις τῆς αὐτῆς συντάξεως ἔχονται. τὸ γὰρ τέμνοιμι εὐκτικὸν ὂν πάλιν ἐπ' αἰτιατικὴν φέρεται, κἂν προστακτικὸν ᾖ κἂν ἀπαρέμφατον κἂν ὑποτακτικόν, κἂν παρῳχημένου χρόνου κἂν μέλλοντος, λέγω κατὰ τὰς ἐνεργητικὰς διαθέσεις. ἔστι καὶ εἰς τοῦτο πάμπολλα παραθέσθαι. Ἀλλ' οὐδὲ αἱ μετοχαὶ τὸ τοιοῦτον ἀποκλίνουσι, κἂν ἀποβάλωσι τὸν τῶν προσώπων μερισμὸν τάς τε παρεπομένας ψυχικὰς διαθέσεις τοῖς ῥήμασιν. ὡς γὰρ προείπομεν, ἐπὶ τὰς αὐτὰς πτώσεις φέρονται, καί τοι τῶν ἄλλων πτωτικῶν, λέγω δὲ τῶν ἀπὸ ῥήματος γεγονότων, οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων. ἔστι μὲν γὰρ τὸ κάπτω τοῦτον, οὐ μὴν τὸ κοπεὺς τοῦτον, κοπεὺς δὲ τούτου·

καὶ αὐλεῖ μὲν τοῦτον, αὐλητὴς δὲ τούτου· γυμνάζει τοῦτον, γυμναστὴς δὲ τούτου. δι' οὗ δείκνυται ὅτι πάντα μὲν ἐπὶ γενικὴν φέρονται τὰ πτωτικά, οὐ μὴν τὰ ἐν μετοχῇ γενόμενα. συντάξεως γὰρ τῆς αὐτῆς ἔχεται τοῖς ῥήμασι, καὶ διὰ τοῦτο συνέχεται τοῦ ἔτι ῥήματος μετέχειν ἰδιότητα· γυμνάζων γὰρ τοῦτον καὶ αὐλῶν τοῦτον. τὸν τοιοῦτον λόγον ἀκριβέστερον ἐξετάσομεν ἐν τῷ περὶ μετοχῆς ὑπηγορευμένῳ.

ΤΩΝ ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ

ΤΟ ΤΕΤΑΡΤΟΝ.

288 Μετὰ τὰς τῶν ῥημάτων συντάξεις, ἃς ἐν τῷ πρὸ τούτου ἀνεπληρώσαμεν, ὄντι τρίτῳ τῆς ὅλης πραγματείας, μέτιμεν καὶ ἐπὶ τὰς πῶν προθέσεων συντάξεις, δεομένας ἀποδείξεως πάνυ ἀκριβεστάτης, καθὸ δοκεῖ τὰ μόρια οἷς μὲν μέρεσι τοῦ λόγου δόκησιν παρέχειν συνθέσεως, οἷς δὲ παραθέσεως, ἔσθ' ὅτε οὐ βοηθούμενα τόνων ἰδίωμασι, καθάπερ τὰ πλεῖστα τῶν μερῶν τοῦ λόγου διὰ τῆς ἑνώσεως τοῦ τόνου τὸ μοναδικὸν τῆς λέξεως ὑπαγορεύει, τουτέστι τὸ ἓν μέρος λόγου εἶναι, ἢ διὰ τῆς μονῆς τῆς καθ' ἕκαστον μόριον τὸ δίσσον ἐμφαίνει τῶν λέξεων. τὸ γὰρ Διὸς κόρος παροξυνόμενον μὲν τὴν γενικὴν ἔχει ἰδίᾳ νοουμένην, ὅμοιον ὂν τῷ Διὸς υἱός, προπαροξυνόμενον δὲ ὅμοιόν ἐστι τῷ

Διόγνητος, Διόςδοτος· τό τε εὖ νοῶ δύο ἔχον περισπωμένας ὁμολογεῖ τὴν ἐξ ἐπιῤῥήματος καὶ ῥήματος παράθεσιν, καὶ τὸ Ἕλλης πόντος
799 κατὰ τὴν ἀρχὴν ἔχον τὴν ὀξεῖαν, καὶ τὸ ἐμοῦ αὐτοῦ δὶς ἔχον τὴν περισπωμένην. ταῦτα γὰρ καὶ τὰ τούτοις ὅμοια, ἄπειρα ὄντα, συνελθόντα μὲν κατὰ τὸν λόγον τῆς συνθέσεως ἔχει καὶ τὸν τόνον συνηρημένον, οὐχ οὕτω δὲ ἔχοντα καὶ τὰ τοῦ τόνου ἔχει ἀσυνέλευστα, καθά περ δὲ εἴπομεν, ἐν τῇ καθ' ἕκαστον μόριον μονῇ τοῦ τόνου τὸ κατὰ παράθεσιν ὁμολογεῖ. τὸ δὲ καταγράφω εἴτε δύο μέρη λόγου ἐστὶν εἴτε καὶ ἕν, οὐκ ἐνδείκνυται διὰ τῆς τάσεως. καὶ τὰ τούτοις ὅμοια, τὸ ἀποίκου, καταφέροντος, ἅπαντα τὰ τοιαῦτα, τῆς αὐτῆς ἔχεται ἀμφιβολίας· ἀποψέ, ἀποδίς, καὶ ἐπὶ συνδέσμων καθότι, διότι — δεδείξεται γὰρ ὅτι ἔγκλινται αἱ προθέσεις —, ἄλλα πλεῖστα. ὑπὲρ ὧν τῆς ἀκριβείας προυθέμεθα ἐκθέσθαι. ἀλλ' ἤδη καὶ ἐπ' ἐνίων μορίων οὐκ ἔνεστιν ὑπὲρ τῶν τοιούτων μορίων ἐπιστῆσαι, τῶν προθέσεων μήτε κατὰ παράθεσιν προθετικῶν οὐσῶν μήτε κατὰ σύνθεσιν, ὡς ἐπ' ἀντωνυμιῶν τῶν τῆς εὐθείας ἁπασῶν, ὧν καὶ τὸ αἴτιον τῆς ἀσυνταξίας παραθησόμεθα κατὰ τὸν προσήκοντα λόγον.

Περὶ μέντοι τῆς κατὰ μέρος αὐτῶν συντάξεως οὐκ ἄκαιρον ὑπολαμβάνω ἐκθέσθαι περὶ τῶν.

τῶν ὑπορημένων ἐν τοῖς μορίοις. Οὐ γάρ φασί, δεόντως τὰ τοῦ τόνου ἀμείβεται εἰς βαρεῖαν τάσιν ἐπὰν τὰ τῆς συντάξεως ἐναλλαγῇ, τουτέστιν ἐπὰν προθέσεις οὖσαι μὴ ἀναδέξωνται τὸ προκεῖσθαι κατὰ τὰς συντάξεις· οὐ γὰρ δὴ τὰ ἄλλα μέρη τοῦ λόγου ἀμείψαντα τὴν τάξιν ἀμείβει καὶ τὴν τάσιν, πρὸς τῷ μηδὲ ἐξωμαλίσθαι τὰ τῆς ἀναστροφῆς· οὐ γοῦν ἅπασαι μεταταθεῖσαι τῆς τάξεως μετατίθενται καὶ τοῦ τόνου. τί δὲ μᾶλλον αὗται εἰσιν αἱ μετατιθέμεναι ἢ περ τὰ μόρια ἃ πρὸς αὐτὰς ἤρτηντο; τὸ γὰρ

ἔπτυσε πολὺ κάτα

ἀπαιτεῖ τὰ κατέπτυσεν ἐν καταλληλότητι, καὶ οὐ μᾶλλον ἡ πρόθεσις μετατίθεται ἢ περ τὸ ῥῆμα.

Ἰθάκην κάτα πειραίνουσι,

τὰ τούτοις ὅμοια. Καὶ πρὸς μὲν τὸ τοιοῦτον ἁπλῆ ἡ ὑπάντησις, ὡς ἤδη ὁμόλογόν ἐστι, καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἀπεδείξαμεν ὡς τὰ προκείμενα μόρια διὰ τῆς ἐξαιρέτου συντάξεως, λέγω τῆς προθετικῆς, τὴν ἀνομασίαν ἐπενέγκασθαι. ἔνθεν γὰρ καὶ οἱ ἀπὸ τῆς στοᾶς προθετικοὺς ἐκάλουν συνδέσμους τοὺς προθέσεις, ἀμείνον ἡγησάμενοι ἀπὸ τῆς ἐξαιρέσεως συντάξεως τὴν ὀνομασίαν θέσθαι ἢ περ ἀπὸ τῆς δυνάμεως, καθάπερ οἵ τε συναπτικοὶ καὶ συμπλεκτικοὶ καὶ οἱ ὑπόλοιποι. σὺν δὲ οὐκ τὰ

ἄλλα μέρη τοῦ λόγου ἐξαίρετον συντάξεως ἔτυχεν, ἵνα πρὸς τὸ μεταθέμενον κατηγορῇ καὶ τῆς μεταθέσεως. τὰ γοῦν θέσιν εἰληχότα μοναδικὴν οὐδὲ μεταθέτεται τῆς τάξεως, ἵνα καὶ τῆς ἀμφιβολίας ἐπικοινωνήσῃ, ὡς ἐπὶ συνδέσμων μὲν ὁ ἤτοι προτακτικὸς καὶ οὔποτε ὑποταktικός, ἐπὶ ῥημάτων τὰ καλούμενα ὑποτακτικὰ ῥήματα οὔποτε χωρὶς ὑποταγῆς ἐστὶ τῆς τάξεως τῶν ἐπιζευκτικῶν συνδέσμων. ἀλλ' οὐδὲ αἱ καλούμεναι ἐγκλιτικαὶ ἀντωνυμίαι δίχα μορίων λέγονται τῶν πρὸς ἃ ἐγκεκλιμέναι εἰσί, τίμησόν με, δός μοι. οὐδὲ γὰρ παραδεκτέος ἐκεῖνος ὁ λόγος, ὁ εἰρημένος ἐν τῷ περὶ ἄρθρων Ἡρῳδιανός, ὡς τὰ ὑποτακτικὰ πάντα ἄρθρα προτακτικὰ γίνεται ἐν τῷ ὃς ἂν ἔλθῃ μείνατω με· τίνος γὰρ πτωτικοῦ προτάγη; πῶς δὲ τὸ τοιοῦτον ἄρθρον οὐκ ἀναπολοῦν τὸ προϋποκείμενον ὄνομα, τοὐναντίον δὲ ἀοριστούμενον κατ' ἀρχὴν τῶν λόγων; οὐ μὴν μείνῃ, ἀλλ' οὐδ' ἐν πτωτικῇ τὸ ὅς σις ἐχρῆν γὰρ καὶ τῶν ἄλλων πτωτικῶν καὶ μὴ ἀοριστουμένων· ἐν οἷς καὶ αὐτὸ συναοριστοῦται πλέον τοῦ τίς· ὃ περ ἐναντιώτατόν ἐστι τῶν ἄρθρων τῷ γὰρ ἀορίστως θῆς ποτὲ νοούμενα ἡ τοῦ ἄρθρου παράθεσις ὑπὸ ὁρισμὸν τοῦ προσώπου ἄγει, ὃ ἂν θῇς πρόσωπος παρεγένετο, τὸν πεισιτηνὲ ἐθεώμασα. αἱ δὴ οὖν προθέσεις οὐ καθαρῶς ἐσαὶ τῶν λέξεων ὁμόλογον ἔχουσι τὴν με-

τάθεσιν κατὰ τὸ δευτερεύοντα ἢ μεταπιθέμενα κατὰ τὴν ἀρχήν· πάλιν γὰρ αὗται δεύτεραι γινόμεναι καὶ τῆς δευούσης τάξεως στερούμεναι ἁμολογοῦσι μεταπιθεῖσθαι. γελοῖον οὖν μοι δοκεῖ τὸ ζητεῖν πότερον αὗταί εἰσιν αἱ μεταπιθέμεναι ἢ τὰ ταύταις δευτερεύοντα μόρια.

Ἔστι δὲ καὶ ὑπὲρ τῆς ἀμειβομένης τάσεως κατ' αὐτὰς φάναι ὡς τὸ πρῶτον ἐν ἄλλοις μέρεσι τοῦ λόγου ἐξαίρετά τινα παρέπεται, ἃ οὐ πάντως συμφερόμενα τοῖς ἄλλοις ἄπορα καταστήσεται, ὥς γ' ἔστιν ἐπινοῆσαι ἐπὶ τῶν ἐγκλιτικῶν μορίων καὶ ἔτι ἐπὶ τῶν πυσμάτων κατὰ βαρεῖαν τάσιν καὶ τῶν ἀορίστων κατ' ὀξεῖαν. οὐ δὴ οὖν ἀπᾴδον τὸ τὴν πρόθεσιν διακρεῖν, ἅ περ ἐπικοινωνεῖ καὶ ἀντωνυμίαις ἐγκλινομέναις καὶ ὀρθοτονουμέναις. τὰ ἢ ἐν ἀρχῇ τιθέμενον καὶ ἐν μέσῃ λέξει, καθὸ περισπᾶται παραπληρωματικῶς· τὰ ἢ περισπώμενα μὲν κατ' ἀρχὴν τῶν λόγων, οὐ μὴν κατὰ τὰς ὑποστατικὰς συντάξεις, ὡς ἐν τῷ

τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων,
ὁτίη κάλλιστον ἢ κατὰ Πάνθιππον·

ἔστι καὶ ἄλλα ἐπινοῆσαι μυρία. Μή ποτε δὲ καὶ δεόντως τὸ δισσὸν τοῦ τόπου παρέπεται. τὰ μὲν γὰρ ἄλλα μέρη τοῦ λόγου μίαν ἔχει σύνταξιν ἐφ' ἣν καὶ φέρεται, οἷς τὰ ἐπιρρήματα ἕπεσι τοῖς ῥήμασι, καὶ μεταξὺ μέρη λόγου πλείονα παρέπεται· τὰ δὲ ἄρθρα ὡς τὰ πτωτικά,

τά τε ὀνόματα ἐπὶ τὰ συνόντα τῶν ῥημάτων,
καὶ αὐτῶν τῶν ῥημάτων ὑποστροφὴν ποιουμέ-
303 νων ὡς πρὸς τὰ ὀνόματα ἢ πρὸς τὰ ἀντωνυ-
μικά, ἃ περ πάλιν ἀντὶ ὀνομάτων παραλαμ-
βάνεται· αἱ μέντοι προθέσεις δύο συντάξεις ἀ-
ναδεξάμεναι, τήν τε πρὸς τὰ ὀνόματα καὶ ἔτι
πρὸς τὰ ῥήματα, δεόντως παραδέξονται καὶ
τὸ ἐναλλασσόμενον τοῦ τόνου, ὅ περ ὑποστρέ-
φον διὰ τῆς τάσεως συσσημαίνει καὶ τὸ ἀ-
ναβιβαζόμενον τῆς προθέσεως, μένον δὲ κατὰ
τὴν ἰδίαν τάσιν σημαίνει τὴν δέουσαν σύνταξιν
τῆς προθέσεως· τὸ γὰρ

Ἰθάκην καπὰ κοιρανέουσι

διὰ τοῦ ἀρχτικοῦ τόνου, λέγω τῆς ἀναστροφῆς,
συσσημαίνει καὶ τὸ ἀναβιβαζόμενον τῆς προ-
θέσεως, οὐχ οὕτω δὲ ἔχον σύνταξιν τὴν ἐπὶ
τὸ ῥῆμα παραδέχεται. καὶ ἕνεκα τούτου εὐπα-
ραδέκτως καὶ ἡ δισσὴ τάσις τῶν προθέσεων
ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ

εὗρε δὲ Πατρόκλῳ περὶ κείμενον ὃν φίλον
υἱόν,

καὶ γὰρ ὅτε πρώτιστον ἐμοῖς ἔπι δέλ-
τον ἔθηκα
γούνασι,

καὶ ἔτι ἐν ὀνόμασι,

μάχη ἔνι κυδιανείρῃ,
ποταμῷ ἔπι δινήεντι,
ποταμοῦ ἄπο Σελλήεντος

ὑπὲρ ὧν τῆς διαφορᾶς κατὰ τὸ δέον ἐνθησό-
μεθα, ὧν ᾧ καὶ παραστήσομεν τοὺς τρόπους
τῶν ἀναστρεφομένων καὶ τῶν μὴ οὕτως ἐχου-
σῶν. τὰ γὰρ νῦν προκείμενον ἡμῖν ἐστὶ παρα-
στῆσαι ὡς ἀναγκαίως οἱ στοιχεῖωται ἐπενόησαν
τὴν ἐπ' αὐταῖς γενομένην δισσὴν τάσιν, ὁμολό-
γως καὶ τῶν φωνῶν προθεσπισμένων εἰς τὸν
προκείμενον λόγον· εἰ γε ἐπάρασαι παρεπόμε-
νόν ἐστι τὸ ὀξύνεσθαι, τῶν ἄλλων μερῶν τοῦ
λόγου ποικιλωτέρων ὄντων κατὰ τὰς τάσεις·
οὐ γὰρ τὸ μεταπῖπτον τῆς τάσεως εἰς τὸν αὐ-
τὸν εὐθετισμὸν ὑπῆρχεν, ὃς γε καὶ παρηκολού-
θει ταῖς προθέσεσι. διὰ τοῦτο καὶ ἐπεκτεινό-
μεναι συνέλκουσι κατὰ τὸ τέλος τὴν ὀξεῖαν, ὡς
ἔχει ἡ ἐνί καὶ ἡ προτί. διὰ ταῦτο οὐδ' οἱ περὶ
τὸν Ἀριστοφάνη ἠξίωσαν βαρύνειν τὰ μόρια κα-
τὰ τὴν Αἰολίδα διάλεκτον, ἵνα μὴ τὸ ἴδιον τῆς
προθέσεως ἀποστήσωσι, λέγω τὴν ἀναστροφήν·
εἰ γὰρ καὶ ἐβαρύνθησαν, ἀνθελκόμεναι ὑπὸ
τῆς τοῦ ῥήματος συντάξεως ἢ τοῦ ὀνόματος ἐ-
ζήτησαν τὸ ἀμείψαι τὸν τόνον, καθ' ἃς εἴπα-
μεν αἰτίας. διὰ τὸ αὐτὸ τοῦτο καὶ κατ' ἀρχὴν
καὶ κατὰ τέλος βραχεῖαι· ὁ γὰρ βραχὺς χρό-
νος εὐμετάθετος κατὰ τάσιν, ὅπου γε καὶ ἡ
Αἰολὶς μετατεθεῖσα τοὺς τόνους τοὺς κατὰ τὸ
τέλος εἰς βραχείας συλλαβὰς μετατίθησι κα-
τὰ τὸ πλέον. πλεονάσασαι οὖν χρόνῳ ἐλλεί-
πουσι καὶ τῆς ἀναστροφῆς, ὡς ἡ καταί, ὑπαί

καὶ αἱ τοιαῦται. Ἀλλ' οὐ πᾶσαι ἀναστρέφονται. Οὐδὲ γὰρ πᾶσα ἀντωνυμία καὶ ἐγκλίνεται καὶ ὀρθοτονεῖται, ἀλλ' ἐπὶ τὸ πλέον ταύταις παρέπεται· οὐδὲ πάντα τὰ πύσματα βαρεῖα ἐστὶ τάσει, οὐδὲ ἄλλα πλεῖστα ἐξωμάλισται.

3 Προτιθέμεναι δὴ τῶν τοῦ λόγου μερῶν ἢ κατὰ σύνθεσίν εἰσιν ἢ κατὰ παράθεσιν. Ἐν 305 μὲν οὖν ταῖς εὐθείαις τῶν πτωτικῶν καὶ ἔτι ταῖς συνυπαρχούσαις κλητικαῖς οὐκ ἔστι τὴν παράθεσιν τῶν προθέσεων ἐπινοῆσαι. πρόδηλον γὰρ ὅτι τὸ σύνοικος, ἐπίκουρος, σύνδουλος, ὑπέρδουλος, πάροικος, μέτοικος, ἔκδηλος, ἀνάδρομος, περίοπτος, περιφόρητος σύνθεσιν τὴν τῶν γενῶν ἀνεδέξατο, οὐ μόνον διὰ τὸν ἀναβαθμοῦντα τόνον κατὰ τὴν σύνθεσιν, ἐπεὶ καὶ τινά γε συνεφύλαξε τὴν αὐτὴν τάσιν καὶ οὐ τῇ μονῇ τοῦ τόνου ἀπολύεται τῆς συνθέσεως, ὡς ἔχει τὸ περικλυτός, ἀνάδρομή, συνοχή, κατάμονή, ἄλλα πλεῖστα, ἀλλὰ καὶ τοῦ συνυπάρχειν κατὰ πάντα σχηματισμὸν τὴν πρόθεσιν, ὅ περ οὐ παρεπόμενόν ἐστι ταῖς ἐκ παραθέσεως, ὡς ἔχει τὸ κατὰ Κτησιφῶντος, ὑπὲρ Ἀριστέρχου, οὐ συμφερόμενα κατὰ πᾶσαν πτῶσιν διὰ τῆς αὐτῆς συντάξεως· τά γε μὴν προεκκείμενα κατὰ τὴν εὐθεῖαν κατὰ πᾶσαν πτῶσιν σύνεστιν. ἀλλὰ μὴν ἔτι καὶ τῆς τοῦ ἄρθρου παραθέσεως πρωτευούσης γὰρ τῇ προθέσει

κατὰ παράθεσιν παραχωρεῖ τῆς προθέσεως,
μετιὸν ἐφ' ὃ συμπέρτηται· οὐ μὴν ἦν σύνθετις ἥ,
εἴ γε μέρος ὀνόματος γενομένη ἔξει προκείμενον
τὸ καλούμενον προτακτικὸν ἄρθρον τῶν ὀνομά-
των. τοῦ μὲν πρώτερου περὶ Ἀριστάρχου-
306 περὶ τοῦ Ἀριστάρχου, κατὰ Κτησιφῶν-
τος κατὰ τῶν Κτησιφῶντας, περὶ στε-
φάνου περὶ τοῦ στεφάνου, τοῦ δὲ δευτέ-
ρου ὁ περικλυτός, ὁ σάκος, ὁ μέτρον-
κος. ἵνεκα τοῦ τοιούτου καὶ τὰ ὑπ' ἀμφιβολίαν
πίπτοντα ἐκλύεται τοῦ ἀμφιβόλου προλαβόν-
τα τὰ ἄρθρα· διόπερ γὰρ τὸ παρὰ τοῦ γέ-
μου, παρὰ τοῦ φέροντος τῶν τοιούτων τοῦ
παραφέροντος, τοῦ παρανόμου, ὑπὲρ ὧν
καὶ ἀλλαχόθι ἡμῖν εἰρίβωται. ἔνθεν ἓν μέρος
λόγου ποιήσει τὸ προπροκυλινδάμενος, ὑποπε-
πτηῶτες· μέρος τε λέξεως ἂν εἴη ἡ κατὰ ἐν τὸ

λεων κατὰ ταῦρον ἐδηδώς

ἅπερ λόγου, εἴ γε τὰ μέρη τοῦ λόγου ἐκ πα-
ραθέσεως νοῶνται, οὐκ ἐκ συνθέσεως διαπαγέ-
μενα, καθότι καὶ ἐν ἄλλοις δεδείξεται τὸ τοιοῦ-
τον. ἀλλ' οὐδὲ τὸ

γέλασσαι δὲ πᾶσα περὶ χθών

παράκειται τῇ εὐθείᾳ κατὰ λόγον τὸν τῆς
προθέσεως, ἐπίρρηματος δὲ τοῦ περιξ· ἢ
καθ' ὑπερβατόν ἐστι πρὸς τὴν τοῦ ῥήματος
σύνοδον, ἵν' ἡ περιεγέλασε περισσῶς ἐλαμ-
πρύνθη. τὴν γὰρ σύνθετον σχέσιν ἀπείργει καὶ

ἡ τάσις, ὅτι μηδὲ ἀναβιβάσῃ τὸν τόνον ὡς τὸ
αὐτόχθων καὶ ἐνοσίχθων· καὶ ἡ τοῦ σημαινο-
μένου ἔννοια· μένει γὰρ ἔτι τὸ θηλυκὸν ὄνομα,
τῆς συνθέσεως μεταβατικὸν ἔχούσης τὸν λό-
γον· οὐ γὰρ δή γε ἐν τῷ αὐτόχθων καὶ ἐνο- 5
σίχθων ἡ γῆ νοεῖται, ὁ δ' ἐκ τῆς γῆς γενόμε-
νος ἢ τῆς γῆς ἐπικρατῶν. Καὶ ἡ μὲν τοιαύτη
παράθεσις ἁπλῆς ἔχεται τηρήσεως, τό γε μὴν
ἐξεργαστικὸν τοῦ λόγου φυσικωτέραν ἐνδείκνυ-
307 ται τήρησιν. αἱ εὐθεῖαι καὶ αἱ κλητικαὶ ἐν πρός- 10
ωπον θηλύνουσι μετὰ τῶν συνόντων ῥημάτων,
Τρύφων ἀναγινώσκει· Τρύφωνα ἀναγινώ-
σκει, Τρύφωνι παραλαμβάνει· Τρύφων πα-
ραλαμβάνει, τῶν ἄλλων πτώσεων ἐν δυσὶ προσ-
31 ώποις νοουμένων· Τρύφωνι λέγει, Τρύφωνα 15
φιλεῖ, Τρύφωνος ἔχουσι, ὁμολόγως εὐθειῶν
ἐξωθεν προσγινομένων. τούτων δὴ δεδειγμένων
κατὰ σύντμησιν τὴν προσήκουσαν οὐκ ἂν δυνη-
θείη ἐν παραθέσει ἡ πρόθεσις τῆς εὐθείας πο-
32 τὲ εἶναι, πρῶτον ὅτι τὸ ἐκ τῶν προθέσεων συν- 20
θηλύμενον ἐπιδέχεται τὴν ἐκ τοῦ ῥήματος πα-
ρυφισταμένην σχέσιν. ἔστω γάρ τι Πλάτων,
ἔστω δέ τι καὶ βαίνει, καὶ πρόθεσις ἡ ἐν, ἡ
σύν, ἡ ἀνά ἢ ἄλλη τις τῶν τοιούτων· ἡ σὺν ἐπ' ἄλ-
λο ποιεῖ μέρος λόγου ἢ τὸ δυνάμενον τὴν ἐξ 25
αὐτῶν σχέσιν ἀναδέξασθαι. καὶ δὴ ἐμπλάτων
μὲν οὐ γενήσεται, τὸ δὲ ἐμβαίνει· οὐδὲ τὸ συμ-
πλάτων, τὸ δὲ συμβαίνει, διαβαίνει, περιβαίνει.

ἐνικά γε τοῦ τοιούτου ἐνὸς ὄντος προσώπου, ποῦ ὄλου, λέγω τοῦ Πλάτων βαίνει, τὸ προσγενόμενον ἔξωθεν προθετικὸν ἐπὶ τὸ ῥῆμα νεύσει, ὡς περὶ προτακτικόν στοιχεῖον πρὸ ὑποτακτικοῦ κείμενον· ἔφαμεν γὰρ καὶ κατὰ τὰς ἀρχὰς τῆς ἐκθέσεως, ὡς τὰ στοιχεῖα τοῦ λόγου τὸν αὐτὸν τρόπον ἔχει τοῖς στοιχείοις τῆς λέξεως· καὶ ὡς ἔστι τὰ προτακτικὰ στοιχεῖα στοιχεῖα καὶ οὐχ ἁπάντα ἁπάντων, οὕτω καὶ λέξεις προσθετικαὶ οὖσαι οὐχ ἁπάντων προτεταξόμεθα τῶν γε μὴν δυναμένων τὴν ἐξ αὐτῶν σύνταξιν ἀναδέξασθαι. φέρε γάρ που παραλαβὼν εἶναι τοιαύτην, τὴν τρα τὴν κλα καὶ ἐπὶ τὸ σ οὐ προσχωρεῖ πρὸ τοῦ ρ ἢ πρὸ τοῦ λ· οὐ γὰρ δὴ τούτων προτακτικὸν τὸ σ, τοῦ γε μὴν α καὶ η καὶ οὕτω τὸ σκλα καὶ στρα συντεταξόμεθα· φέρε δὴ καὶ εἶναί τίρυς, καὶ ταύτῃ προστίθεται τὸ ν, λέγω κατὰ τὸ τέλος· οὐ δὴ προκείσεται μετὰ τὸ σ, καί τοι τελικὸν ὂν πολλῶν λέξεων, καθὰ τὸ σ τοῦ ν· οὐ προηγεῖται· ἀνάπαλιν μέντοι, ὡς γε παρ' Ἀργείοις πέμπτη λέξις ἐστὶν ἡ τοιαύτη σύνταξις· οὐ δὲ αὖ προσγεγενημένης προθέσεως ἐν τῷ αὐτῷ προσκεῖται, λέγω ἐπὶ τοῦ Πλάτων διαλέγεται· μεθεῖσα ἡ ῥηματικὴ σύνταξις τὸ προτακτικὸν αὐτῆς στοιχεῖον κατὰ σύνθεσιν, λέγω τὸ προσδιαλέγεται. εἰ γοῦν καὶ ἡ ὀνοματικὴ θέσις σχέσιν δύναιτο ἐπιδέξασθαι τὴν ἐκ τῆς προθέσεως, τὸ

τηνικαῦτα ἐστιν ἐπινοῆσαι συνεπομένην τῷ ὀνόματι τὴν πρόθεσιν· ὁ γὰρ περίεργος οὐ πάρεστιν ἐστι τοῦ περιεργάζεσθαι, οὐδὲ ὁ μέτοικος τοῦ μετοικεῖν, οὐδὲ ὁ περίεπτος τοῦ περιόπτεσθαι, οὐδὲ ὁ Ἐπίκουρος τοῦ ἐπικουρεῖν. οὐ γὰρ ἀντίκεινται, κἂν συμβολικῶς κεῖνται· τί γὰρ τῆς συνθέσεως πρώτη σύνοδος ἐστι κατὰ τὴν ἐπιθετικὴν προφοράν, συμβολικωτέρου τινὸς μετατεθειμένης· ἀλλὰ μὴν καὶ τὸ ἀντίθετος, ἀντίπατρος καὶ τὰ τούτοις ἐπόμενα δυσμεταθέτως ἔχει γενικῆς παραθέσεως ὁμολογεῖ· αὐτὰ γὰρ θεοῦ ἢ πατρὸς παραλαμβάνεται σαφὲς οὖν ὅτι καὶ τὰ συντεθειμένα συνέχει πάλιν τὸ ἰδίωμα τῶν δὲ οὐ ῥημάτων κατὰ τὸν προειρημένον λόγον συντεθειμένων μετὰ τῶν προθέσεων, εἰ μὴν παρατεθειμένων, ὡς δεδείκται, ἀνάγκη πᾶσα καὶ τὰς ὀνομαστικὰς πτώσεις, ἐπειδὴ ῥηματικὴν ὁμολογούσας, τὸ αὐτὸ τοῖς ῥήμασιν ἀναδέχεσθαι.

Αἱ γοῦν πλάγιαι πτώσεις ἀπαντᾶσαι τῇ συνόδῳ τῶν ῥημάτων, τουτέστι τὸ αὐτὸ πρόσωπον οὐ δηλοῦσαι, καὶ τοῦ σχήματος ἀπηλλοτριώθησαν· τὸ γὰρ ἐναντίον ἀναδέχονται παράθεσιν ἀντὶ συνθέσεως. καὶ πρὸς τὸ ἡμῶμεν μὲν πρόσωπον, ἧς προείπομεν· καὶ τὰ τῆς συνθέσεως ὁμοίως συνήνωται· πρὸς δὲ τὸ ἀφιστάμενον τῆς πλαγίας συναπέσπαται καὶ τὰ τῆς πλαγίας, μοιρικωτέρας λοιπὸν παραθέσεως

γιγομένης. ἧς περ διήκουσεν καθ' ἕνα σχηματισμόν, περὶ Ἀπολλωνίου ἐν Ἀπολλωνίῳ καὶ τὰ τοιαῦτα ὅμοια, οἷός τινα φήσειν καὶ ἐν πλαγίοις σύνθεσιν ἐπιπεδίνης βόλου περιβόλου, δρόμου κωπαδρόμου καὶ ἐν τοῖς ὁμοίοις οὐ λήσεται ὡς οὐκ ἔστιν αὐτάδελφον σύνθεσις, αὐθείας δὲ συνθέσεως κλίσις μεταπεπτωκυίας, ὡς καὶ ἐν τοῖς ἔξης δείκνυται. Εἰκὸς δὲ καὶ κεῖνο ὑπονοῆσαι, ὡς οὐ κατὰ τὰς ἡλικίας αἱ προθέσεις παραπίπτουσι, ἀν δὲ ὑπερβιβασμῷ πρὸς τὰ ῥήματα ἀναφέρονται, οἷον τοῦ Ἀπολλωνίου ἐλάλησε — κατελάλησε Ἀπολλωνίου, σὺν Ἀπολλωνίῳ ἤμην — συνῆμεν Ἀπολλωνίῳ, περὶ τὸν καμπτῆρα ἐδρεμον — περιέδρεμον τὸν καμπτῆρα, πρὸς Τρύφωνα εἶπεν — προσεῖπεν Τρύφωνι, ἀπὸ Ἀλεξανδρείας ἐδρεμόμην — ἐπιέδρεμον Ἀλεξανδρείας. καὶ διαφέρει κατὰ τὸ δηλούμενον τὰ τῆς συντάξεως, καθ' ὑπερβασμοὺς γίνεταί πως ἡ διαφορά. Οὗτος ἄνθρωπος — οὗτος ὁ ἄνθρωπος, Πτολεμαῖος — ὁ Πτολεμαῖος, ἐμὸς ὁ δοῦλος — ὁ ἐμὸς δοῦλος. Ἔστι δὲ καὶ πρὸς τὸ τοιοῦτον φάναι ὡς τὰ τοιαῦτα μὲν τῷ ὑπερβιβασμῷ τὴν αὐτὴν ἔχει καταλληλότητα, καὶ πῃσὶν ἔχῃ διαφοράν τοῦ σημαινομένου· τὰ δὲ τῶν προθέσεων καὶ ἐν ὑπερβιβασμῷ διάφορον πᾶσιν ἴσχει, καὶ σχεδὸν τὰ πλείστα οὐχ

ὑπερβαλλόμενος πρὸς Ἀπολλώνιον ἔρχομαι, πρόσειμι δὲ Ἀπολλωνίῳ, πρὸς Τρύφωνα λαλῶ, καὶ πρὸς λαλῶ Τρύφωνι, καὶ ἔστι μέν που καταφέρω οἶνον, οὐ μὴν κατ' οἶκον φέρω, καὶ περὶ τοῦ φίλου λέγω, οὐ μὴν περιλέγω τοῦ φίλου. πλείστην ἔστιν εἰς τὸ τοιοῦτον παράθεσιν ποιήσασθαι, δι' οὗ προδηλότατα δείκνυσαι ὡς οἰκειότης καὶ πρόθεσις σύνταξιν τὴν πρὸς τοὺς πλησίους, οὐ δυναμένου ἐπ' ἄλλο τι συνεκφέρεσθαι, εἰ μὴ πρότερον συμπεριλάβοιμεν τὴν πλαγίαν πτῶσιν. ὑπὲρ ὧν τῆς διαφορᾶς κατὰ τὸ ἑξῆς ἐροῦμεν.

4. Ἔστι τῇ παρακειμένῃ συντάξει οἰκειοῦταί τις τὰ τοιαῦτα ἀντικεῖσθαι, παρ' ὀλίγον Τρύφωνι ἥλισθε, μετ' ὀλίγον Δίωνι παρέστηκα, παρά τί ἥμαρτε Θέωνος; τὸ γὰρ τί καὶ τὸ ὀλίγον καὶ ἔτι τὰ προκείμενα δόξει ἐν εὐθείᾳ συντάξει παράθεσιν τῶν προθέσεων ἀναδεδέχθαι, καὶ ἔτι κατὰ πλαγίαν πτῶσιν τὰ τῆς συντάξεως γένεσθαι, παρ' ὀλίγον Τρύφωνι συνέβη τιμηθῆναι, κατά τι Θέωνα ὑβρίζεις. Ἃ περ ἔστιν ἀπολύσασθαι οὕτως, ὡς ἐν ὑπακουομένοις αἰτιατικαῖς τὰ τοῦ λόγου κατέστη. τὸ γὰρ παρὰ τί Τρύφωνι ἥμαρτεν ἐν ἴσῳ ἐστὶ τῷ ἔξωθεν ὑπακουομένῳ κατ' αἰτιατικὴν πτῶσιν, ὡς καὶ οὕτω τις λέγοι, παρὰ ποίαν αἰτίαν ἥμαρτε

Τρύφων. οὕτως ἔχει τὸ μετὰ μικρὸν καὶ μετ' ὀλίγον ἐλεύσεται Τρύφων· ὑπακούεται γὰρ μετὰ μικρὸν διάστημα τοῦ χρόνου. ὁ αὐτὸς λόγος ἐπὶ ἁπάντων τῶν τοιούτων, ὥστε πάλιν κατὰ παράθεσιν αἰτιατικῆς πτώσεως νοεῖν τὰς προθέσεις. τὸ γὰρ παρὰ τί λείπει ὁ λόγος; ἐν ἴσῳ ἐστὶ τῷ παρὰ τίνα λέξιν λείπει ὁ λόγος; παρὰ τίνα φράσιν; καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαι ἐν εὐθείᾳ συν-
61 τάξει φάναι τὸ παρὰ τίς, κατὰ δὲ αἰτιατικὴν τὸ παρὰ τίνα, οὕτω χρὴ νοεῖν ὡς καὶ τὸ τί καθεστὸς τῆς μὲν εὐθείας οὐ παραδέξεται τὴν παράθεσιν, αἰτιατικῆς γε μήν, ὅτε φαμὲν παρὰ τί.

Ἀλλ' ἐκεῖνο πάλιν ἀντιπείσεται, ἅφαμεν ἐν
312 τοῖς προειρημένοις τὰς τῶν ἄρθρων συντάξεις ἐν μὲν παραθέσει τῶν προθέσεων μετ' αὐτὰς τίθεσθαι, ἐν δὲ συνθέσει πρὸ αὐτῶν τίθεσθαι· φαμὲν δέ γε τὸ παρὰ τί, τοῦ τοιούτου οὐ προσγινομένου, εἰ μὴ πολὺ πρότερον ἡ πρόθεσις ἦνωτο. Πρὸς ὃ ἔστι πάλιν ὑπαντῆσαι. τὸ πρῶτον, οὐδ' ὅλως τὸ τί δύναται παραδέξασθαι ἄρθρον· ἀπροσδεεῖς γὰρ τῶν ἄρθρων αἱ πεύσεις, καθὼς ἐπεδείχθη. τὸ δεύτερον, ἡ
62 πρακειμένη σύνταξις οὐχ ὡς ἐγκειμένου τοῦ πνεύματος τὰ τῆς συντάξεως τοῦ ἄρθρου ἐποιήσατο, λέγω ἐν τῷ τὸ παρὰ τί, ἀλλ' ἔστιν ὅλης τῆς συντάξεως καὶ τοῦ νοουμένου ἔξωθεν

πράγματος τὸ ἄρθρον, ὡς γε ἔστιν ἐπινοῆσαι καὶ ἐπὶ τῆς τάξεως ἀπαρεμφάτων συντάξεως, ὅτε φαμὲν τὸ γράφειν, τὸ περιπατεῖν· οὐ γὰρ δὴ τῶν διαθέσεων τὸ ἄρθρον ἐστὶν ἢ τῶν χρόνων, τοῦ δὲ παρυφισταμένου πράγματος. παρὸν τὸν λόγον πιστώσασθαι καὶ διὰ συντάξεως λόγου. ἔστω γάρ τι τοιοῦτον, τὸ μὴ παρὰ τοῦτο ποιησώμεθα, ἐξ ἧς συντάξεως παρυφίσταταί τι πάλιν πρᾶγμα, οὗ γίνεται τὸ ἄρθρον, τὸ μὴ παρὰ τοῦτο ποιησώμεθα. Οὐ δὴ οὖν τὸ παρά τί ἐν συνθέσει τὰ τῆς προθέσεως ἀνεδέξατο διὰ τὸ προγεγενημένον ἔξωθεν ἄρθρον.

5 Τῆς αὐτῆς ἐπιστάσεως ἔχεται καὶ τὸ διό-
313 τι καὶ καθότι, πότερον ἐν παραθέσει τὰ τῆς συντάξεως καθέστηκεν ἢ συνθέσει, καὶ πότερον ἐπὶ ἀπτώτου τὸ ὅτι λόγῳ τῷ συνδεσμικῷ ἢ ἐπὶ πτωτικοῦ, ὃ δὴ παράκειται οὐδέτερον ἂν τῷ ὅτις, ἓν μέρος λόγου καθεστός, ὅμοιον τῷ ὁποῖον, ὁπόσον ἢ ἐπὶ τὸ ἐν δυσὶ μέρεσι λόγου νοούμενον, ὃ δὴ ἀπ' ἀρσενικῆς πέπτωκε συντάξεως κατὰ παραλληλότητα, λέγω τῆς ὅς τις, ᾧ καὶ θηλυκῷ παράκειται ἐν δυσὶ μέρεσι λόγου πάλιν τὸ ἥ τις, ᾧ πάντως σύνεστι καὶ οὐδέτερον ἐν δυσὶ μέρεσι λόγου τὸ ὅ τι, οὐκ ἀγνοοῦντός μου ὅτι καὶ ἐν συνδέσμῳ τῷ ὅπως ἐστὶν ἐγκειμένη ἑτέρα σημασία, ἣν νοοῦμεν βεβαιωτικῶς, ὅτε οὕτω φαμέν, ὅτι νικᾷ σε

ὅτι πλείονά σου ἀναγινώσκω, διαφερούσης συντάξεως τῆς οὕτω νοουμένης κατ' αἰτιολογικὴν ἐνφοράν, ὅτι πλείονά σου ἀναγινώσκω συνιστῶσερός σου καθέστηκα. ὑπὲρ ἧς διαφορᾶς ἠκριβώσαμεν καὶ ἐν τοῖς περὶ συνδέσμων, ἀλλὰ τὸ νῦν γε τῆς τῶν προθέσεων συντάξεως τὸ τοιοῦτον ἀπαιτούσης αὐτὸ μόνον τὸ κατὰ τὰς προθέσεις ἀπορούμενον παραστήσομεν. Ὡς μὲν οὖν καὶ κατὰ τὰς ἄλλας παραθέσεις αἱ προθέσεις συνδεσμικῆς συντάξεως γίνονται παρεμφατικαί, λέλεκται ἡμῖν. 314 ἐξ ὧν καὶ ἀφορμὴ εἴρηται παρὰ Στωϊκοῖς τοῦ καλεῖσθαι αὐτὰς προθετικοὺς συνδέσμους· τὸ γὰρ ἕνεκα τίνος λυπῇ καὶ διὰ τί λυπῇ ἐν ἴσῳ ἐστί, καὶ τὸ ἐκ τῆς ῥᾳθυμίας ἐν ἴσῳ ἐστὶ τῷ ἕνεκα τῆς ῥᾳθυμίας. οὐ δὲ οὖν ἀπεμφαῖνον καὶ τὰ προκείμενα μόρια, λέγω τὸ διότι, καθότι, παραδεξάμενα τὰς προθέσεις συνδεσμικὴν ἐπέχειν σύνταξιν. πρόδηλον γὰρ καὶ τῆς συνούσης δασείας ὡς οὐχ ἓν ἁπλοῦν ἐστὶ τὸ διότι, καθὸ οὐ παρεμπίπτει ἡ ἐν τοῖς φανεῖσι δασεῖα ἐν μέσαις ταῖς λέξεσιν, ἕνεκα τοῦ τοιούτου σεσημειωμένων ὡς ἀλόγων ὄντων ἢ ἀπὸ Λακωνικῆς διαλέκτου παρειδεδυκότων εἰς τὰς ἄλλας διαλέκτους, ὑπὲρ ὧν ἐν τῷ περὶ πνευμάτων ἠκριβώσαμεν. Ἀλλ' οὐ τοῦτό φημι αὐτάρκως διότι συνίστασθαι ἐκ διαφόρων μερῶν τοῦ λόγου, ἐπεὶ οὐδὲν ἐκώλυε τοῖς σεσημειωμέ-

ναις ὁρμαὶ αὐτὰ καθίστασθαι, τῷ εἶδει, εἶεν
καὶ ἔτι τῷ παρ' Ἀττικοῖς ταύτας· ἀλλὰ καὶ τὰ
παρεπόμενα συνομολογεῖ. πρῶτον αὐταὶ αἱ
φωναί, ἡ τε διὰ καὶ ὅτι, καὶ τὸ τὴν διὰ μη-
δέποτε ἐν ἀποδόσει αἰτιολογικῶς παραλαμβά- 5
νεσθαι, ὡς ἐν τῷ διαδρομὸς ἡ διατρέχω, ἐν
δὲ παραθέσει πτώσεως αἰτιατικῆς, διὰ Τρύ-
φωνα, διὰ τὴν ἡμέραν· καὶ ἐντεῦθεν ὁμολο-
γεῖται ὡς οὐδὲ τὸ ὅτι σύνδεσμός ἐστιν, ἀλλὰ
πτωτικὸν μόριον τῆς αἰτιατικῆς πτώσεως, εἴγε 10
ἐδείχθη ὅτι οὐδὲ ἐν παραθέσει ἐστὶν ἡ εὐθεῖα
3,5 τῶν προθέσεων καὶ ὡς ἐν εὐθείᾳ ἡ διὰ συνδε-
σμικὴν οὐκ ἐπέχει σύνταξιν. λειπόμενον οὖν ἐ-
στὶν ἐκεῖνο παραστῆσαι, εἰ ἑνὸς ὄντος τοῦ ὅτι
c 1 κατ' αἰτιατικὴν πτῶσιν ἡ διὰ πρόκειται, ἢ δυ- 15
οῖν ὄντοιν κατὰ παράθεσιν τοῦ ὅ καὶ τί, ὃ
δὴ ἐκ συντάξεως ἀρσενικῆς τῆς ὅς τις μεταλη-
πτὸς εἰς οὐδετέραν· ᾧ καὶ μᾶλλον τὰ τοῦ λόγου
ὑπάγεται. ἰδοὺ γὰρ καὶ ἐπὶ τῶν ἑτέρων γενῶν,
λέγω τοῦ τε ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ· ἃ δὴ 20
εἰ μὴ κατ' αἰτιατικὴν συνεμπίπτει, οὐδέποτε
τὰ τῆς διαστολῆς ἐκβήλα ἐγένετο. ἓς γὰρ πτώ-
σεως ἔτυχε τὸ δι' ὅν τινα λόγον καὶ δι' ἥν
τινα αἰτίαν, καὶ ἔτι ἐπὶ πληθυντικοῦ ἀρι-
θμοῦ δι' οὕς τινας καὶ δι' ἅς τινας, καὶ 25
τὸ δι' ὅ τι. προφανὲς οὖν γενήσεται ὡς εἰκὸς ἐν
ἑρισὶ μέρεσι λόγου, προθέσεως τῆς διὰ κατὰ
συν-

συνδεσμικὴν σύνταξιν φερομένης ἐπ' αἰτιατικὴν καὶ παραλλήλων δύο πτωτικῶν, τοῦ ὅ καὶ τοῦτί, πτώσεως ὄντων οὐκ ἄλλης ἢ αἰτιατικῆς. ἡ αὐτὴ ἀπόδειξις σύνεστι καὶ ἐπὶ τοῦ καθότι. ὁμολόγως δεήσει καὶ ἐν τῇ τοιαύτῃ συντάξει, διὰ τὸ ἡμέραν εἶναι, διὰ τὸ φῶς εἶναι, μὴ ἔχεσθαι ἄλλης πτώσεως ἢ τῆς προειρημένης αἰτιατικῆς. Ἔστι καὶ ἐκ τῶν ἀνθυπαγομένων λόγων προαποδεῖξαι τὸν λόγον. ἰδοὺ γὰρ ἀνταποδίδοται τὸ δι' ὅν τινα λόγον ταῦτα ἐγένετο, διὰ τοῦτον ταῦτα συμβήσεται, καὶ ἔτι δι' ἣν τινα αἰτίαν διὰ ταύτην· παρακολουθήσει καὶ ἀπὸ τοῦ οὐδετέρου, διότι ἡμέρα ἐστί, διὰ τοῦτο
316 φῶς ἐστί, πάλιν τοῦ ἀνταποδιδομένου νοουμένου κατ' αἰτιατικὴν πτῶσιν.

6 Καὶ τοσαῦτα μὲν περὶ τῶν παρατιθεμένων προθέσεων κατὰ τὰς ὀνοματικὰς συντάξεις καὶ τῶν συντιθεμένων· τοῖς γε μὴν ῥήμασι συντάσσονται πάντοτε κατὰ τὴν σύνθεσιν· ἐν γὰρ τῷ καταγράφω καὶ τῷ ἐξυπανίστη καὶ τῷ παρακατατίθεμαι καὶ εἴ τινα ἄλλα τοιαῦτά ἐστι. Καὶ ἴσως τὸ τοιοῦτο δόξει οὐκ ἀληθεύειν δεόμενον λόγου τοῦ ἀποδεικνύντος τὴν ἐν αὐτοῖς σύνθεσιν. φέρε γὰρ φάναι ὡς μᾶλλον παράκεινται τοῖς ῥήμασιν ἢ περ συνήνωνται, συνηγορίας οὔσης τοιαύτης. τὰ ὁπωσδήποτε συντεθέντα τῶν μερῶν τοῦ λόγου, καθ' ὃ μέρος

ἥνωται, ἀμετάθετά ἐστι, τά γε μὴν παρακείμενα διάφορον ἔσθ' ὅτε τὴν παράθεσιν ποιεῖται. καὶ πρόδηλα μὲν τὰ ἀπὸ λειπούσης φωνῆς συντεθειμένα, ὡς ἔχει τὸ λεοντόφωνος, μηνόδωρος, κυνόδηκτος, χειρογραφῶ, παιδαγωγῶ· οὐ γὰρ δή γε ἐπὶ τούτων κατὰ τὰς διαφόρους κλίσεις τὰ τῆς συναφείας τῶν λέξεών ποτε μετατίθεται. ἀλλὰ καὶ ἔτι τὰ ἐκ τελείων φωνῶν συντεθειμένα μετὰ τῆς συνούσης τάσεως καὶ μὴ μεταπιπτούσης λέξεως πρόδηλον ἴσχει τὴν σύνθεσιν, ὡς ἔχει τὸ κεραςφόρος, ἑωςφόρος, ἀστυάναξ, τερατοσκόπος, Διόςκορος. τά γε μὴν
317 ἐν παραθέσει ὄντα ἔχει τὸ καὶ μετατίθεσθαι, ὡς τὸ νέα πόλις-νέας πόλεως, ἀγαθοῦ δαίμονος, Ἀρείου πάγου, συνεπισχύοντος καὶ τοῦ δὶς παραλαμβανομένου τόνου. ἀλλ' ἔτι καὶ ἐπ' αὐτῶν τῶν προθέσεων, ἵνίκα ἐδιδάχθημεν τὸ παρανόμου, τὸ περικλυτοῦ, τῇ τοῦ ἄρθρου προςόδῳ παράθεσιν μὲν ὁμολογεῖ ἀφισταμένης τῆς προθέσεως πρὸ τοῦ ἐπεντιθεμένου ἄρθρου, οἷον παρὰ τοῦ νόμου, σύνθεσιν δέ, εἰ ἥνωμένου τοῦ ἄρθρου, ἔξωθεν προσγινομένης τῆς προθέσεως, οὕτως ἔχει τὰ τῆς συντάξεως, τοῦ παράνομου, τοῦ περικλυτοῦ. καὶ δὴ οὖν ἐν τῷ καταγράφω, εἰ μὲν συνῆπται τὰ τῆς προθέσεως, πάντως καὶ ἀμετάβλητα κατὰ τὸν προειρημένον λόγον· εἰ δὲ μὴ οὕτως ἔχει, κλίσιν δὲ τὴν δέουσαν ἀναδέχεται, ὡς εἰ καὶ

ἁπλᾶ καθειστήκει, σαφὲς ὅτι παράκειται μᾶλλον ἡ πρόθεσις ἢ περ σύγκειται. καὶ ὡς περ παραδεξαμένη τὸ ἄρθρον ἐν τοῖς πτωτικοῖς ἐδίδαξε τὴν παράθεσιν, οὕτω παραδεξαμένη τὴν γινομένην κλίσιν ἔσωθεν ταὐτὸν ἐπιδείξεται, ὅπου γε καὶ τοὺς διπλασιασμοὺς ἐπιδέχεται, καταγράφω - κατεγέγραφα, καταλαλῶ - κατελελάληκα.

7 Οὐ γὰρ ἐκεῖνο πιθανόν, καθό φησιν ὁ Τρύφων ἐν τῷ περὶ προθέσεων, ὡς ἡνωμέναι μέν εἰσιν αἱ προθέσεις μετὰ τῶν ῥημάτων, οὐ μὴν τὴν προσγινομένην κλίσιν ἔξωθεν ἐπιδέχονται, καθὸ προθέσεις οὖσαι οὐκ ὀφείλουσι πρὸ ἑαυτῶν τι ἔχειν. πρῶτον μὲν ὅτι ἄπορον τὸ τὰ ὁπωσδήποτε συντεθέντα ἔτι μετακινεῖσθαί, ὅ περ καὶ ἀπεδείχθη. τί γὰρ μᾶλλον, ὡς ἔφαμεν, παρακειμέναις αὐταῖς τὸ τοιοῦτον παρακολουθεῖ ἢ περ συντεθείσαις; δεύτερον, εἴ περ καθὸ προθέσεις εἰσί, διὰ τοῦτο οὐδ' ἔξωθέν τι προσγίνεται αὐταῖς, τί δή ποτε ἐπ' ἐνίων προσεγένετο, ἤνεπε, παρηνόχλησθε, ἠναντιώμην; ἵνα μὴ λέγω καὶ κατὰ τὴν συνήθειαν κεκάμμυκα, κεκάθικα. ἀλλ' εἰ καὶ τὰ τοιαῦτά τις παραπέμψαιτο ὡς οὐ δεόντως κεκλιμένα, ἃ δὴ καὶ μάλιστα φυσικῆς εἴχετο ἀκολουθίας, ὡς ἐν ἑτέροις ἐδιδάξαμεν, ἐκεῖνό γε μὴν ἔτι ἀναμένει, ὡς τότε ἡ πρόθεσις τῆς δεούσης συντάξεως τυγχάνει, ἡνίκα καὶ τὸ ὄνομα σύνεστιν

518B

αὐτῇ, τὸ καλεῖσθαι πρόθεσις· ὁπηνίκα μέντοι συντεθεῖσα μετά τινος μέρους λόγου οὐκέτι οὐδὲ πρόθεσις καλεῖται, μέρος γενομένη τοῦ ὅλου ὀνόματος, τὸ τηνικαῦτα οὐδὲ τὰ ἰδιώματα τῆς προθέσεως ἀναδέξεται. παρὸν πιστώσασθαι ἐκ τῶν προκατειλεγμένων. ὅτε γὰρ ἐν τῷ ἀνοίκτης μέρος ὀνόματος ἐγένετο, ἔσχε καὶ δευτερεύουσαν τὴν σύνθεσιν ἐν τῷ θυρανοίκτης, καί τοι κατ' ἀρχὰς ἀεὶ συντιθεμένη· ὅτε συνετέθη
319 ἐν τῷ καταδρομος, εἰς ὄνομα χωρήσασα ἔξωθεν προκείμενον ἔσχε τὸ ἄρθρον, οὐκέτι τῷ λόγῳ τῆς προθέσεως ἀρκτικὴ γενομένη, δευτέρα δὲ τοῦ ἄρθρου. ἐδείκνυτο γοῦν ἐν παραθέσει μὴ παραχωροῦσα τοῦ τόπου τῷ ἄρθρῳ ἐν τῷ κατὰ Κτησιφῶντος καὶ ἔτι κατὰ τοῦ Κτησιφῶντος, ἐκ Λέσβου καὶ ἐκ τῆς Λέσβου. εἴ περ οὖν ἤνωτο καὶ ἐν τῷ καταγράφω, ἀδιάφορον εἶχε τὸ ἔξωθεν προσκλιθῆναι· ὡς γὰρ ἔφαμεν, οὐκέτι πρόθεσις, μέρος δὲ ῥήματος. εἰ δὲ οὐ προσδίδωσι τῇ κλίσει τὸ ἔξωθεν ἐγγενέσθαι, ὁμόλογον ὅτι τὸ ἰδίωμα οὐκ ἄλλο τι σημαίνει ἢ τὴν παράθεσιν. ἀλλ' οὐδὲ τὰ τοῦ τόνου ἀπεμφαίνοντά ἐσιν· ἰδοὺ γὰρ ἔχει τὸ ἰδίωμα τῆς παραθέσεως, τὸ συντηρεῖν τοὺς τόνους, κατεῖχον, καθῆψα, προῆλθον. καὶ ἐπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος.

Τούτοις οὖν τοῖς λόγοις τις προσέχων δόξει μετὰ πάσης ἀκριβείας πιστοῦσθαι ὡς μᾶλ-

λον ἐν παραθέσει εἰσὶν αἱ προθέσεις ἢ περ ἐν συνθέσει. Ἀλλ' ἔστι πρὸς ἕκαστον τῶν εἰρημένων ὑπαντῆσαι οὕτως. οὐκ οἰητέον κεκλίσθαι τὰ ἀπὸ προθέσεως ἀρχόμενα κατὰ τοὺς παρῳχημένους χρόνους, συντεθεῖσθαί γε μὴν κατὰ τὴν ἑκάστου διαφοράν. ᾧ γὰρ λόγῳ παρὰ τὸ γράφω ἐγένετο καταγράφω, τούτῳ καὶ παρὰ τὸ ἔγραψα τὸ κατέγραψα. ὁ αὐτὸς γὰρ τῶν προειρημένων χρόνων, ἐπαγγελλόμενος κατὰ
320 τὴν τοῦ πράγματος διάθεσιν, τὴν αὐτὴν ἐκ τῶν προθέσεων θέσιν παρεδέχετο ἐν τοῖς ἰδίοις μετασχηματισμοῖς, ὅτι καὶ τὸ αὐτὸ πρᾶγμα ἐνέκειτο. τούτου δὲ ἀπόδειξις ἱκανωτάτη γένοιτο τὸ καὶ παρῳχημένους ἰδίᾳ ποτὲ συντεθεῖσθαι μὴ ὄντων ἐνεστώτων, καὶ ἔτι μέλλοντας καὶ ἐνεστῶτας οὐκ ὄντων παρῳχημένων· ὅ περ εἰ παρεῖπετο τὸ ἐξ ἐνεστῶτος ἄρχεσθαι τὰς συνθέσεις καὶ μετιέναι ἐπὶ τοὺς παρῳχημένους, παρεῖπετο ἂν τὸ μὴ ἰδίᾳ συντεθεῖσθαι παρῳχημένον χωρὶς τῆς κατὰ τὸν ἐνεστῶτα συνθέτεως. κατέφαγόν φαμεν οὐδεμιᾶς οὔσης ὑπομνήσεως τοῦ ἐνεστῶτος, καὶ ἔτι κατοίσω οὐκ οὔσης χρήσεως τῆς κατὰ τὸν ἐνεστῶτα, οὐδὲ μὴν τῆς κατὰ τὸν παρῳχημένον· καὶ ἔτι κατὰ τὸν ἐνεστῶτα ἄπειμί φαμεν οὐκ ὄντων προδήλων τῶν παρῳχημένων. ἰδίᾳ ἄρα οἰητέον ἕκαστον χρόνον τὴν σύνθεσιν ἀναδεδέχθαι, καθὸ ἕκαστος ῥητὸς ὢν οὐκ ἐν ἅπαντι διαφόρῳ

χρόνῳ σύνθεσιν ἰδίαν ἀπηνέγκατο, οὐκ ἀναμείνας τὴν ἐξ ἐνεστῶτος γενομένην σύνθεσιν. ἔστιν εἰς τὸ τοιοῦτο πάμπολλα παραθέσθαι. ἐκείνοις μέντοι συγκατατιθείμην τοῖς σχήμασι, λέγω τοῖς κατὰ τὰς προθέσεις κλιθεῖσι. τὴν γὰρ ἐκ τοῦ ἐνεστῶτος γενομένην διαφορὰν κατὰ τοὺς παρῳχημένους παρεδέξαντο αἱ προθέσεις, ὡς ἔχει παρὰ τὸ ἐνέπω τὸ ἤνεπον· ὅμοιον γάρ ἐστι τῷ ἤλαυνον· καμμύω - ἐκάμμυον· ὅμοιον γὰρ τῷ ἔκαμπτον. χρὴ νοεῖν ὅτι παρὰ τὸ ἐνοχλῶ ἐγένετο τὸ ἠνόχλουν, καὶ μετὰ
321 τὴν κλίσιν ἐπηνέχθη σύνθεσις ἡ τοῦ παρηνόχλουν. Καὶ φαίνεται ὅτι εἰ μὴ πολλὴ ἡ τοιαύτη παρέθεσίς ἐστι, τῶν κεκλιμένων ἐν τῇ ἐπικρατείᾳ καθ' ἕκαστον χρόνον συντεθειμένων προθέσεων, τὰ τοιαῦτα ἐδόκει ἄλογα καθίστασθαι. πρὸς οὕς γε ἔστι φάναι ὡς εἰ τὸ αὐτὸ ἀπαιτεῖ ὁ λόγος ταῖς οὕτω συντεθειμέναις προθέσεσι, τί οὐχὶ παραιτούμεναι τὴν ἔξωθεν κλίσιν ἐγγινομένην ἀποδιδοῦσιν, ὥστε φάναι καθιζόμην καθῖσα, λέγω μετὰ μακροῦ τοῦ ῑ, ὅπου γε καὶ μεταξὺ πεσόντος τοῦ συνδέσμου ἐγένετο

καὶδ' ἵσ' ἐν θαλάμῳ;

ὁμολόγως οὖν γενομένης ἔσωθεν τῆς κλίσεως, τὸ ῑ γενέσθαι ἔξωθεν· ἀδύνατον γὰρ ἐκτῆναι τὸν παρῳχημένον χρόνον τῆς ἔξωθεν προσγινομένης κλίσεως. ὡς οὖν προείπομεν, τὰ τοιαῦτα τὴν

ἐξ ἐνεστῶτος σύνθεσιν ἀναδεξάμενα μετῄει καὶ ἐπὶ τοὺς παρῳχημένους, οὐκ ἰδίᾳ συντεθειμένους, μεταληφθέντας δὲ ἐξ ἐνεστῶτος. ἐγὼ δὲ ὑπολαμβάνω καὶ ὅτι ἐν παρολκῇ αἱ συνθέσεις οὖσαι κατὰ τὸ πλέον, καὶ ὡς συλλαβαὶ προσκείμεναι τοῖς ῥήμασι, τὴν τούτων ἀπηνέγκαντο κλίσιν. οὐ γὰρ ὡς τὸ γράφω καὶ τὸ καταγράφω διάφορα, οὕτω καὶ τὸ ἵζω καὶ καθίζω, εὕδω καὶ καθεύδω, ἕπω ἐνέπω, ὅπου γε καὶ εἰς ἓν ἁπλοῦν μεταλαμβάνεται. τὸ δὲ ὑπὲρ τῶν τοιούτων αὐτάρκως ἐν ἑτέροις ἡμῖν εἴρηται.

8 322 Ἔστι δὲ καὶ ἀπὸ τῶν μετοχῶν ὁ λόγος πάνυ ἀκριβέστατος. εἰ δέδοται ὅτι καταγράφων ἔν ἐστι κατ' εὐθεῖαν πτῶσιν, καθὸ ἡ παράθεσις τοῦ ἄρθρου πρὸ τῆς προθέσεως, δίδοται ὅτι καὶ τὸ καταγράφω ἓν ἐστιν· ἐν γὰρ τῷ αὐτῷ σχήματι καταγίνεται μετοχὴ καὶ ῥῆμα. διὰ τοῦτο τὸ ἀνατλάς μετοχή, συνυπάρχοντος τοῦ ἀνέτλην, οὐ μὴν τὸ πολύτλας· ἰδίαν γὰρ σχέσιν ἀναδεξαμένη ἡ μετοχὴ καὶ μὴ μετέχουσα τῆς τοῦ ῥήματος σχέσεως ἀπέπνευσε τὸ καὶ εἶναι μετοχή. τὸν τοιοῦτον λόγον ἐντελέστερον ἐξεθέμεθα ἐν τῷ περὶ μετοχῶν.

Ἔστι καὶ τοῦτο προσθεῖναι, εἴ περ αἱ εὐθεῖαι συμφερόμεναι τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρόσωπον οὐ παραδέχονται καὶ προθέσεως παράθεσιν, σύνθεσιν δὲ διὰ τὴν τοῦ ῥήματος σύνοδον, πῶς οὐ βέβαιον τὸ αἴτιον τοῦ μὴ συνεῖναι

τὴν παράθεσιν τῶν προθέσεων· αὐτὸ ἐπιδέξασθαι τὴν παράθεσιν; πάλιν γὰρ οὐδ' ἡ κλητικὴ παράθεσιν ἐπιδέχεται κατὰ τὴν τοῦ ῥήματος σύνοδον, αἵ γε μὴν ὑπόλοιποι τρεῖς πτώσεις, καθὸ ἐξέφυγον τὴν τοῦ ῥήματος σύνοδον. ἐδείξαμεν γὰρ ἐν τοῖς προειρημένοις ὡς ἐν διαφόροις προζώποις τὰ ῥήματα νοεῖται, ἡνίκα φαμὲν κατὰ Ἀριστάρχου λέγει. Ἔστι καὶ ὁ ἀπὸ τοῦ τόνου λόγος συνάγων τὴν ἐγγενομέ-
323 νην σύνθεσιν. τὸ μὲν γὰρ τὰς αὐτὰς τάσεις φυλάττεσθαι ἴδιόν ἐστι καὶ παραθέσεως καὶ συνθέσεως, παρὰ τοῦ σοφοῦ ἦλθε, παρὰ τὸν σοφὸν ἐγένετο· ἀλλὰ μὴν καὶ ἐν συνθέσει μονὴ τοῦ τόνου γίνεται, περικλυτός, Παναχαιός, ἀντεραστής. τό γε μὴν ἀναβιβάζειν τὸν τόνον ἴδιόν ἐστι συνθέσεως. οὐχὶ οὖν ἐν τῷ καθῆψα, ἐν τῷ προεῖχον μᾶλλον σύνθεσις ἢ παράθεσις· καὶ γὰρ ἀμφότερα δύναται εἶναι· ἔν γε μὴν τοῖς ἀναβιβαζομένοις τὸ ἐξαίρετον τῆς συνθέσεώς ἐστιν. ἀνεβιβάσθη τὸ κάθηται, τὸ ἀνάκειται, τὸ σύνειμι, τὸ σύμφημι, τὸ σύνοιδα,

κάτεχ' οὐρανόν,

Νέστωρ δ' αὖτις ἔφιζε,

ἔνεσαν στονόεντες ὀϊστοί,

ξύνιεσαν μεγάλῳ ἀλαλητῷ,

ἄλλα πλεῖστα, ὑπὲρ ὧν τὰς αἰτίας ἐκθησόμεθα· ὡς γε καὶ ἐπὶ τῶν ὀνομάτων φαμέν

τινα συντιθέμενα ἀναβιβάζειν τὸν τόνον καί τινα τὴν ταυτότητα τοῦ τόνου τηρεῖν. τὸ δὲ μεῖζον, ὅλη ἡ προστακτικὴ ἔγκλισις κατὰ τὴν τῶν ἐνεργητικῶν ῥημάτων προφορὰν οὖσα δισύλλαβος ἀναβιβάζει τὸν τόνον, κάτελθε, κατάλαβε, περίγραφε, καὶ οὐδὲ κατ' ὀλίγον διστάξαι ἔστι περὶ τῆς συνθέσεως. καὶ εἰ ὁμολόγως τὰ τοιαῦτα σύνθετα, πῶς οὐκ ἂν δοθείη καὶ τὰ τῆς ὁριστικῆς ἐγκλίσεως σύνθετα; μία γὰρ ἡ ἔγκλισις καὶ μία συνδρομὴ τῆς προθέσεως καὶ μία σχέσις ἡ κατὰ τοῦ ῥήματος. Ἰδοὺ δὴ καὶ ἡ ὑποτακτικὴ ἔγκλισις ἐπιδέχεται τοὺς ἐπιζευκτικοὺς συνδέσμους πρὸ τῶν προθέσεων, ἐὰν καταλάβω, ἐὰν καταγράφω· ἃ περ
324 οὐκ ἂν παρείπετο, τῶν προθέσεων ἀεὶ τὸν ἀρκτικὸν τόπον ἐπεχουσῶν. σαφὲς καὶ τῶν λοιπῶν ἐγκλίσεων, αἱ πρὸ τῶν προθέσεων τὰ προσγινόμενα αὐταῖς ἐπιῤῥήματα ἔξωθεν προσλαμβάνουσιν, εἴθε καταλάβοιμι, ἄγε κατάλαβε. Καὶ τοσαῦτα ἂν εἴη περὶ τοῦ ἡνῶσθαι τὰς προθέσεις τοῖς ῥήμασι.

Πρόδηλον ὡς καὶ αἱ συνοῦσαι μετοχαὶ μεταλαμβανόμεναι ἀπὸ τῶν ῥημάτων σχέσιν τὴν αὐτὴν ἀναδέχονται, ὡς ἔχει ἡ παραστάς πρὸς τὸ παρέστη, περιφύς-περιέφυν. οὕτω γὰρ καὶ τὸ παραφέροντος πάλιν συνυπάρχοντος τοῦ παραφέρω καταστήσεται εἰς ἓν μέρος λόγου· εἰ μέντοι εἴη παρὰ τὸ φέρω, ἀφ' οὗ φέρων καὶ

φέροντος, καθὼς προείπομεν, δύο μέρη λόγου γενήσεται τὸ παρὰ φέροντος, τοῦ ἄρθρου τιθεμένου μεταξὺ τῆς προθέσεως. εἴπομεν ἐν τῷ περὶ μετοχῶν ὡς ἀληθές ἐστι μᾶλλον καλεῖν τὰ σχήματα αὐτῶν παρασύνθετα ἢ περ σύνθετα, καθὸ πᾶν μέρος λόγου συντεθὲν καὶ εἰς ἕτερον σχῆμα μεταπεσὸν ἔχει τὸ μεταπεπτωκὸς οὐκέτι σύνθετον, παρασύνθετον δέ. ἔνθεν οὖν καὶ αἱ τάσεις τῶν τε ἁπλῶν καὶ τῶν δοκούντων συνθέτων εἶναι τὸν αὐτὸν ἐπέχουσι τόνον, ἐπεὶ τὰ ἁπλᾶ καὶ παρασύνθετα μιᾶς ἔχεται ἀναλογίας, ὡς δείκνυται ἐν τῷ περὶ σχημάτων. σύνθετον γοῦν φαμὲν τὸ ἐξ ὀξυτόνου εἰς βαρεῖαν τάσιν μετελθὸν, ἐπὶ τῶν εἰς ος, πάνσοφος, νεάοιδος· παρασύνθετον δὲ τὸ μὴ ἀναβιβάσαν τὸν τόνον, καθὸ οὐδὲ συνετέθειτο, συνθέτῳ δὲ ῥήματι παρέκειτο, τῷ ἐπακούω τὸ

ἀγορῆς ἐπακουὸν ἐόντα,

τῷ λυραοιδῷ τὸ λυραοιδός, μεσῳδῷ - μεσῳδός, τῶν σεσημειωμένων τὸ νῦν ὑποστελλομένων· οὐ γὰρ δή γε προηγουμένως ὑπὲρ τῆς τούτων ἀναλογίας προειλόμεθα διαλαβεῖν.

9 325 Ὁμόλογον δ' ὅτι καὶ τὸ ἐξόν καὶ τὸ παρόν σχέσιν τῶν προειρημένων μετοχῶν ἀναδέδεκται, παραπείμενα τῷ ἔξεστι καὶ τῷ πάρεστιν· ἃ πέρ ἐστιν ἐν οὐδετέρα καταλήξει δεόντως, ἐπεὶ καὶ ἡ ἐξ αὐτῶν σύνταξις ἐπὶ τὰ ἀπαρέμφατα φέ-

ρεται ἐκ συντάξεως ῥηματικῆς τῆς πρὸς τὰ ἀπαρέμφατα, πάρεστι φιλολογεῖν - παρὸν φιλογογεῖν, ἔξεστι καθεύδειν - ἐξὸν καθεύδειν.

Ταῖς ἀντωνυμίαις οὐδέποτε ἐν συνθέσει αἱ προθέσεις σύνεισι, κατὰ μέντοι τάσιν τὴν ὀρθὴν ἐν ταῖς πλαγίαις πτώσεσι, κατὰ σοῦ, περὶ σοῦ· διὰ τί δὲ μετὰ ὀρθῆς τάσεως, ἐν τοῖς προεκδοθεῖσιν εἴρηται. ὁμολόγως οὖν ταῖς κατὰ τὴν εὐθεῖαν οὐδ' ὅλως συντετάξεται ἡ πρόθεσις οὔτε κατὰ παράθεσιν οὔτε κατὰ σύνθεσιν διὰ τὸ ἀνέφικτον τῆς συνθέσεως. ἤδη μέντοι οὐκ ἐν ἀντωνυμικῇ συντάξει τετόλμηται τὸ ἐπέκεινα καὶ ἔτι ἐν ἐπιῤῥηματικῇ τὸ ἔπειτα κατὰ χρονικὴν ἔννοιαν, ἐφ' οὗ καὶ τὰ τῆς μεταλήψεως εἰς τὸ μεταλαμβανόμενον τῆς ἀντωνυμίας μεταφράζεται, μετὰ ταῦτα. Τοῖς γε μὴν ἄρθροις οὐ ῥητοῖς οὖσι κατ' ἰδίαν, ἀλλ' οὐδὲ συντιθεμένοις, ἀεὶ δὲ ἐν παραθέσει οὖσι τῶν πτωτικῶν κατὰ τὴν αὐτὴν σύνταξιν, τούτοις αἱ προθέσεις παράκεινται, τοῦ τοιούτου ἐν τοῖς προειρημένοις ἠκριβωμένου. Ἑαυταῖς γε μὴν αἱ προθέσεις καὶ συντίθενται καὶ παρατίθενται. δεδομένου γὰρ τοῦ ὡς ἐν εὐθείᾳ
328 συντίθενται αἱ προθέσεις, δοθήσεται καὶ ἐν εἶναι τὸ παρακαταθήκη· καὶ δεδομένου τοῦ ὅτι ἐν συνθέσει ἁπάντοτε μετὰ τῶν ῥημάτων αἱ προθέσεις, δοθεῖη ὅτι καὶ ἐν συνθέσει λόγου

τὸ ἐξυπανέστη· καὶ εἰ ἓν τὸ ἀναγινώσκειν, ἓν καὶ τὸ ἀναγινώσκοντα. καὶ δῆλον ὅτι, εἰ προσγένοιτο ἑτέρα πρόθεσις τῷ τοιούτῳ σχήματι, οὐ συνούσης συντάξεως τῆς κατὰ τὰ ῥήματα, ἡ μὲν προσγεγονυῖα ἐν παραθέσει εἰρήσεται, ἡ δὲ συνοῦσα τῷ ῥήματι ἐν συνθέσει, ἀναγινώσκω - ἀναγινώσκοντα - παραγινώσκοντα, καὶ ἔτι μετὰ τοῦ ἄρθρου παρὰ τὸν ἀναγινώσκοντα. εἰ δὲ οὕτω τις φαίη παραναγινώσκοντα, καὶ ὡς ἔζωθεν τὸ ἄρθρον προσγενήσεται, τὸν παραναγινώσκοντα.

10 Ἐξῆς ῥητέον καὶ περὶ συντάξεως τῆς τῶν ἐπιῤῥημάτων, καὶ πρῶτόν γε περὶ τῶν ἐκ συντάξεως προθετικῆς πρόληψιν ἀναδεξαμένων ὡς εἴη ἐπιῤῥήματα. Ἡρακλείδης γοῦν ἐπιμερίζων τὰς οὐ δυναμένας λέξεις ὀξεῖαν ἐπιδέξασθαι ἐν τῷ περὶ καθολικῆς προῳδίας, φησὶν ὡς ἀσύστατον εἴη τὸ εἰσὸ ἐπίῤῥημα ἐν ὀξείᾳ τάσει καταγίνεσθαι, καθὸ τὰ εἰς ō λήγοντα τῶν τοῦ λόγου μερῶν ἀπέστραπται τὴν ἐπὶ τέλους ὀξεῖαν, ὑπεξαιρούμενος τήν τε ἀπό πρόθεσιν καὶ τὴν ὑπό, καθὸ τούτων ἓν ἰδίωμά ἐστιν ἡ ἐπὶ τέλους ὀξεῖα. φαίνεται δ' ὅτι καὶ ἡ τοῦ αὐτός οὐδετέρα ἀντωνυμία εἰς ō λήξασα εἶχε τὴν τοῦ τόνου ὑποπαραίτησιν, καθὸ συνετονοῦτο τῇ ἀρσενικῇ τάσει· οὐ δὴ οὖν τις ἀφορμὴ περὶ τῆς ἐγγινομένης ὀξείας ἐν τῷ εἰσό. οὐδὲ γὰρ

37 ἐκεῖνο πιθανὸν οἰητέον, ὡς παρὰ τὸ ἕως ἐπίῤῥημα

ἐσχημάτισται ἀπάντων τῶν παρεπομένων ἐν ὑπερβατῷ γενομένων· ὁ γὰρ χρόνος ὁ ἐπὶ τὸ τέλος μετῆει ἐπὶ τὸ ἄρχον, καὶ τὸ ἐπὶ τέλους σ̄ ἐν μεσότητι παρελαμβάνετο, καὶ ἡ ἐν ἀρχῇ ὀξεῖα μετὰ τοῦ συνόντος πνεύματος μετετίθετο ἐπὶ τὸ τέλος. ἄμεινον ἐκδέξασθαι ὡς ἐκ παραθέσεως προθετικῆς καὶ ἀρθρικῆς συντάξεως παρυφίστατο χρονικὴ σύνταξις, τῶν λέξεων κατὰ τὴν συνοῦσαν παράθεσιν τὰ παρεπόμενα αὐταῖς ἀναδεξαμένων. ἐνεκλίνετο γὰρ ἡ πρόθεσις ἐξ ὀξείας τάσεως εἰς παράθεσιν παραλαμβανομένη, ὅ περ παρεπόμενόν ἐστι πάσῃ προθέσει· μόριόν τε τὸ ὃ ὠξύνετο μετὰ τοῦ συνόντος πνεύματος, ὃ παρεπόμενον ἦν πάσῃ λέξει οὐκ ἐχούσῃ πρὸ αὐτῆς ἑτέραν λέξιν. τοῦτο δέ φημι, ἐπεὶ πᾶσαι αἱ ὀξύτονοι ἐκφοραὶ ἐν παραθέσει οὖσαι ἑτέρων λέξεων εἰς βαρεῖαν μετατίθενται, ὡς ἐν τῷ

εἰ μὴ μητρυιή

καὶ τοῖς ὁμοίοις. Οὕτως ἔχει καὶ τὸ ἐξ οὗ, ἐν ᾧ, ἀφ' οὗ, καθότι ἔστιν ἐπινοῆσαι καὶ ἐν ὀνόμασι τὸ τοιοῦτον παρεπόμενον, ἐν οἴκῳ, ἐκ Λέσβου, εἰς οἶκον· ἔννοια γὰρ τοπικὴ ἡ ἐκ τούτων μία, ἰσοδυναμοῦσα ἐπιῤῥηματικῇ παραγωγῇ, λέγω τῇ Λεσβόθεν, οἴκαδε, οἴκοθι. παρεστήσαμεν καὶ ἀλλαχόθι ὡς τὸ οἰκόνδε, Οὐλυμπόνδε, τὰ τούτοις ὅμοια, δύο μέρη λόγου καθεστῶτα εἰς σύνταξιν μίαν ἐπιῤῥήματος πα-

ραλαμβάνεται, κἀκεῖνο προςδιασαφήσαντες, ὡς
382 αἱ προθέσεις ἀντὶ συνδέσμων παραλαμβάνονται. οὐ βέλτιον καὶ τὸν σύνδεσμον ἀντὶ προθέσεων ἀνθυπάγεσθαι. ἀλλ' ἐκεῖνο γέ τις ἐπιζητήσει, πῶς ταῦτα τοπικῆς ἐννοίας ἐστὶ παρεμφατικά, χρονικῆς δὲ τὰ ἐκ τῆς ἀρθρικῆς συντάξεως; ἔχοντος καὶ τοῦ τοιούτου λόγον, ὡς ἀναγκαίως μὲν τὸ ἐν οἴκῳ καὶ ἐξ οἴκου τοπικὴν σχέσιν σημαίνει, ἐπεὶ καὶ αὐτὰ πολὺ πρότερον τόπον ἐσήμαινε· τά γε μὴν ἄρθρα οὐδὲν τοιοῦτον σημαίνοντα ἢ μόνον ἀναφορικὴν ἔννοιαν, ἤ τις χρονικὴν ἔμφασιν παρίστησιν, εἴ γε τὸ ἀναφέρειν χρόνου ὑπόμνησίς ἐστιν ἐν ᾧ προεγεγόνει τὸ ἀναφερόμενον, ἀκολούθως κατὰ τὴν προειρημένην σύνταξιν χρονικῆς παρεμφάσεως γενήσεται παρεμφατικά. οὐκ ἐπειδὴ ἐκ παραθέσεώς φαμεν τὰ τοιαῦτα μόρια συνίστασθαι, πάντως καὶ κατὰ τὸν μερισμὸν τῶν μερῶν τοῦ λόγου τῆς συντάξεως ἀποστήσεται, καθά πέρ γε καὶ τὰ ἄλλα μέρη τοῦ λόγου συντάξεως ἀποστήσεται τῷ παραλόγῳ τῶν εἰρημένων φωνῶν. δύο μέρη λόγου ἐστί, τῇ μέντοι ἐξ ἑκατέρου συνόδῳ ἔν τι παρυφίσταται. διὸ καὶ ὡς ἡνωμένα αὐτὰ παρεδεξάμεθα, λέγω τὸ εἰσό, ἐν ᾧ καὶ ἐξ οὗ· καὶ ἔτι ἐπὶ τῶν προειρημένων ἐπιῤῥηματικῶν, οἴκόνδε, ἀγρόνδε.

Παραθήσομαι καὶ τὸ πρὸς τοῦ Ἡρακλείδου εἰρημένον, ὡς καὶ τὸ ἐπεί χρονικὸν ἐπίῤῥημα ἐκ τῆς προειρημένης συντάξεως ἐγίνετο. ἐκ τοπικοῦ γὰρ

ἐπιῤῥήματος τοῦ αὖ, φησίν, ἀπετελεῖτο Δωρικὴ μετάληψις ἡ εἶ, ὁμοίως τῷ ποῦ καὶ πεῖ, αὐτοῦ-αὐτεῖ, ᾧ συνῆψει πρόθεσις ἡ ἐπί, ἡ νῦν ἰσοδυ-
339 ναμοῦσα τῇ ἀπό, καθὸ καὶ ἐν ἑτέροις ἡ ἀπὸ ἀντὶ τῆς ἐπί· τὸ γὰρ ἀπομνίσας ἐν ἴσῳ τῷ ἐπιμνίσας. Εἰς δὲ τὴν τοῦ ἀνδρὸς συνηγορίαν καὶ τὰ τῆς συναλοιφῆς οὐκ ἐμποδιεῖ τὸν λόγον· ἀπειράκις γὰρ τὰ Δωρικὰ διὰ ψιλῶν ἀντιστοίχων τὰς συναλοιφὰς ποιεῖται,

κὠ τοξότας Ἡρακλέης·
κάλλις' ὕπαυλεν·
κἀ μέγ' ἀπενήσασα ναὶ ἀ Μελάμποδά
τ' Ἀρπόλυκόν τε·

ἄρχοιμεν γὰρ κὠθρασίων.

Φαίνεται δὲ ὅτι καὶ εἰ δοίη τις τὴν ἐναλλαγὴν τῆς προθέσεως καὶ τὴν συναλοιφήν, καθὸ συνηγορήσαμεν, μάχεται τὰ τῆς τάσεως· τοῖς γὰρ κοινοῖς συμπερισπᾶται καὶ τὰ εἰς ΕΙ λήγοντα ἐπιῤῥήματα, τῷ ποῦ τὸ πεῖ, τῷ αὐτοῦ τὸ αὐτεῖ, ὅ περ οὐ παρείπετο τῷ ἐπεί· ἀλλὰ καὶ τὸ σημαινόμενον· τὰ γὰρ μεταπίπτοντα παρὰ ταῖς διαλέκτοις τῆς φωνῆς ἀμοιβὴν σημαίνει, οὐ τοῦ δηλουμένου. οὐ δὴ οὖν τὸ ἐπεί τόπον παρεμφαίνει, ὡς περ ἔχει τὸ εἶ τὰ τῶν χοιραγχᾶν· διὸ καὶ παρεδεξάμεθα ἂν ἐκεῖνο, ὡς καὶ ἐπ' ἄλλων συνδέσμων παρεπόμενον, τὸ συνωνυμεῖν συνδέσμους ἐπιῤῥήμασι, καὶ ἐπὶ τοῦ προκειμένου σχήματος.

σύνδεσμός ἐστι τὸ

ὅφρα πεποίθῃς,

ἀλλὰ καὶ χρονικὸν ἐπίῤῥημα,

ὅφρα μὲν ἠὼς ἦν.

ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ὅπως καὶ ἐπὶ τοῦ ἵνα πρὸς τοπικὸν ἐπίῤῥημα.

Μηδὲ ἐκεῖνο δὲ παρείσθω, ὡς τὰ προκείμενα μόρια συνωνυμεῖ καὶ τοπικῇ σχέσει, ἀρ-
330 θρικῆς μᾶλλον ἐννοίας ὄντα παρεμφατικά· ἃ καὶ μάλιστα ἐπιζητεῖ τὴν τοῦ τόπου ἐπίζευξιν, ἐν ᾧ τόπῳ ἐνέμεινας, ἐξ οὗ τόπου ἀπῆλθον, εἰς ὃ ἐπορευόμην χωρίον, τῶν προθέσεων πάλιν παρειλημμένων εἰς τοπικὴν σχέσιν ὁμοίως τοῖς πτωτικοῖς· ὁμόλογον γὰρ ὅτι καὶ τὸ εἰς ὃ ἐπορευόμην χωρίον οὐκ ἄλλης πτώσεώς ἐστιν ἢ τῆς αἰτιατικῆς, προδεδειγμένου τοῦ ἐν εὐθείᾳ μὴ δύνασθαι τὰς προθέσεις καταγίνεσθαι, τοῦ τε ἀρσενικοῦ συνομολογοῦντος· εἰς γὰρ ὃν ἐπορευόμην τόπον. Καὶ τοσαῦτα μὲν περὶ τῶν ἐκ παραθέσεως γινομένων χρονικῶν ἐπιῤῥημάτων.

11 Ἑξῆς ῥητέον καὶ περὶ τῆς πρὸς τὰ ἐπιῤῥήματα συντάξεως τῶν προκειμένων μορίων. τὸ δὴ ἐπάνω, περικύκλῳ, ὑποκάτω, ἀποδίς, ἀποψέ, τὰ τούτοις παραπλήσια ἔχεσθαι συνθέσεως τῆς πρὸς τὰς προθέσεις αὐτὸ μόνον ὑπέλαβον οἱ πρὸ ἡμῶν, οὐδεμίαν ἀκριβῆ ἀπόδυ-

δειξιν ποιησάμενοι, δι' ἧς τὸ δισταζόμενον τῆς συντάξεως περιεγράφετο. τί γὰρ μᾶλλόν ἐστι τὸ ἀπὸ ὀψὲ δύο μέρη λόγου ἢ πρ ἓν; τά τε τούτῳ ὅμοια. χρὴ οὖν ἀνταναπληρῶσαι τὴν τοῦ τοιούτου ἀπόδειξιν, πότε καθ' ἓν μέρος τὸ τοιοῦτο νοηθήσεται καὶ πότε οὔ. Ἐν δὴ ταῖς προειρημέναις συντάξεσιν ἐντελῶς ἀπεδείχθη, ὡς αἱ προθέσεις αὐτὸ μόνον ἰδίᾳ νοοῦνται καὶ κατὰ παράθεσιν ἀναμεμερισμέναι ταῖς πλαγίαις πτώσεσιν — οὐ γὰρ πᾶσαι κατὰ πασῶν διήκουσι, καθά πρ καὶν τῇ ὑπηγορευμένῃ εἰσαγωγῇ ἀπεδείξαμεν —, ἔν γε μὴν τοῖς ἀπτώτοις καθ' ἕνα σχηματισμὸν παρελαμβάνοντο. ἔνθεν κατὰ τοῦτο μετὰ καὶ ἄλλων ὧν παρεστήσαμεν αἰτίων, οὐ παρετίθετο τῇ εὐθείᾳ ἔτι ἀπτώτῳ οὔσῃ. διὸ δὴ πᾶσα ἀνάγκη ταὐτὸν παραδέξασθαι καὶ ἐπὶ τῶν ἐπιῤῥημάτων, οὐκ ἐχόντων πλαγίας πτώσεις, δι' ὧν ἐπινοηθήσονται παρακείμεναι αἱ προθέσεις. οὐ δόξει τὸ διότι ἀντικεῖσθαι· ἐδείξαμεν γὰρ ὅτι αἰτιατικὴ ἐγκειμένη ἐστὶ μετὰ τῆς διά προθέσεως, καὶ οὐχ ὁ ὅτι σύνδεσμος, ἐπεὶ κἂν πάντως ἓν μέρος λόγου καθεστήκει, καθά πρ ἔχει καὶ ὁ ἐπεί συναπτικὸς συγκείμενος ἐκ τοῦ εἰ συνδέσμου καὶ τῆς ἐπί προθέσεως, ὡς φησι καὶ Ποσειδώνιος. Εὔλογον δὲ κἀκεῖνο προσθεῖναι. εἴ περ συμφέρεται καὶ τὰ ἐπιῤῥήματα τοῖς ῥήμασι, καὶ τούτων μία σύνταξίς ἐστιν ἁπάντοτε,

δῆλον ὡς τὸ αὐτὸ ἀναδέξεται τῷ πρὸς ὃ φέρεται. ἐὰν δὲ αἱ προθέσεις μετὰ τῶν ῥημάτων ὡς μέρος λόγου, καὶ τὰ ἐπιῤῥήματα ταὐτὸν ἀναδέχεται, συνεπαγόμενα τὴν πρόθεσιν ἐπὶ τὰ ῥήματα.

Εἰκός τινα φήσειν ὡς ἡ ἐγγινομένη ἐπ' ἐνίων ἐπένθεσις τοῦ ἄρθρου τὸν προκείμενον λόγον διαβάλλει· πῶς γὰρ τὸ ἡνωμένον τῆς προθέσεως παραδέξεται τὴν ἐπένθεσιν τοῦ ἄρθρου, ὅπου γε καὶ τὴν ἐν τοῖς ὀνόμασιν ἀμφιβολίαν ἡ τοῦ ἄρθρου ἐπένθεσις περιέγραφε τῷ μὴ ἡνῶσθαι τὴν πρόθεσιν, παρὰ τοῦ νόμου, παρὰ τοῦ φέροντος; τοιοῦτον οὖν καὶ τὸ ἀπὸ τοῦ νῦν, ἀπὸ τῆς σήμερον, ἀπὸ τῆς αὔριον. Ἔστι δὲ καὶ πρὸς τὸ τοιοῦτον φάναι ὡς παρυφίσταται ἐνίοις τῶν ἐπιῤῥημάτων ἡ πτωτικὴ ἔννοια, ἐφ' ἧς τὰ τῆς συντάξεως τείνει. ἐν γὰρ τῷ σήμερον ἔγκειται ἡ ἡμέρα, οὐκ ἔχουσα ἀναστροφὴν πρὸς τὸ σήμερον· οὐ γὰρ εἴ τι ἡμέρα, τοῦτο καὶ σήμερον, ἐπεὶ συντείνει καὶ ἐπὶ τὸ αὔριον καὶ ἐπὶ τὸ χθές, ἃ περ πάλιν ἐγκειμένην ἔχει ἡμέραν, ὥστε πάλιν, εἴ τι ἔστι μὲν αὔριον ἢ χθές, τοῦτο ἐπιδέχεται καὶ τὴν ἡμέραν, οὐ μήν, ὡς ἔφην, κατ' ἀναστροφήν. ὁ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ νῦν· πάλιν γὰρ χρόνου ἐστὶ τοῦ γενικωτάτου ἐμπεριεκτικόν, οὐ τέμνον τὸ ἐπιμεριζόμενον τοῦ χρόνου, διῆκον

232

μέντοι διόλου, ὡςπερεὶ γενικὸν ὄνομα. ἐὰν οὖν ὡς πρὸς τὸ ἐγκείμενον τῆς ἡμέρας τὰ τῆς συντάξεως ἐγγίνηται, πᾶσα ἀνάγκη τὴν μὲν πρόθεσιν νοεῖν κατὰ παράθεσιν, ἐπεὶ κατὰ πλαγίας ὀνόματος φέρεται, καὶ πᾶσα ἀνάγκη τὸ ἄρθρον προστίθεσθαι, ἵνα τὸ ὑπακουόμενον πτωτικὸν νοῆται. ἐξαίρετος γὰρ ἡ τῶν ἄρθρων παράθεσις ὡς πρὸς τὰ πτωτικά, ἐπεὶ πῶς γινώσκει τὸ σήμερον τὸ τῆς ἄρθρον καὶ θηλυκὸν καὶ γενικῆς πτώσεως καὶ ἑνικόν, τῶν ἐπιρρημάτων οὐδὲν τοιοῦτον ἐμφανιζόντων; ἔστι γοῦν οἷς οὐδὲ παρυφίσταταί τι τοιοῦτον πτωτικόν, ἃ δὴ καὶ στέρεται τῆς τοιαύτης συντάξεως, ὡς ἔχει τὸ ἀποδίς, ἀποτρίς, ἐπάνω, ὑποκάτω. καὶ ἀνάπαλιν δὲ οὐ γινώσκει τὴν παράθεσιν
333 τῆς προθέσεως κατ' ἰδίαν, εἰ μὴ πρότερον προσγένοιτο ἡ τοῦ ἄρθρου παράθεσις, ᾧ καὶ μόνως ἐπὶ τὸ συνυπακουόμενον φέρεται, ὡς ἔχει τὰ τοιαῦτα, ἐν τῇ αὔριον, ἐν τῇ χθές· ἃ περ οὐκ ἂν τις ἐπινοήσειε δίχα τῶν ἄρθρων ἀποφήνασθαι, καθὸ αἱ πρόθεσεις μόνον ἐπὶ τὰ πτωτικὰ ἐφέροντο, οὐ μὴν ἠδύναντο παρακεῖσθαι τοῖς ἐπιρρήμασιν· οὐ γὰρ οἷόν τε φάναι ἐν σήμερον οὐδὲ ἐξ αὔριον. ὁ αὐτὸς λόγος καὶ ἐν τοῖς τοιούτοις, ἐν τῷ ὑποκάτω, ἐν τῷ ἐπάνω· πρὸς γὰρ πάλιν τὸ ἐγκείμενον τοῦ τόπου ἡ τοῦ ἄρθρου

παράθεσίς ἐστι μετὰ τῆς καταρχούσης προθέσεως ἐν παραθέσει. διὸ καὶ ἐν τοῖς μερισμοῖς χρὴ νοεῖν τὴν μὲν προτέραν παράθεσιν ἐπὶ τὸ ἐγκείμενον τῆς δοτικῆς μετὰ τοῦ συνόντος ἄρθρου ἐν παραθέσει καθίστασθαι, τὴν δὲ δευτέραν κατὰ σύνθεσιν οὖσαν τοῦ τοπικοῦ ἐπιῤῥήματος. δείκνυται ἄρα διὰ τοῦ τοιούτου ὡς τὸ ἀπεχθές οὐ δύναται προσλαβεῖν τὸ ἄρθρον, ὅτι ἐπὶ τὸ χρονικὸν ἐπίῤῥημα φέρεται· ἓν γὰρ μέρος τοῦ λόγου. τὸ μέντοι ἀπὸ τῆς ἐχθές ἰδίας συντάξεως ἔχεται, τῆς πρὸς τὸ ἐπιφερόμενον ὄνομα, ὅμοιον καθεστὸς τῷ ἐκ τῆς σήμερον, ὃ οὐ πάντως κατ' ἐπένθεσιν τὴν τοῦ ἄρθρου ἐγεγόνει· οὐ γὰρ ἦν τι ἐκ σήμερον. Τῆς τοιαύτης οὖν ἀποδείξεως, ὡς ἔφαμεν, ἐδέετο ὁ προκείμενος λόγος ὑπὲρ τοῦ πιθανώτερον τὸν ἐπιμερισμὸν γίνεσθαι.

12 Ἑξῆς διαληπτέον καὶ περὶ τοῦ ἐξαίφνης,
334 πότερον ἥνωται καὶ τύπος ἐστὶν ἐπιῤῥηματικός, ἢ ἐκ προθετικῆς συντάξεως ἐπιῤῥήματος ἔννοιαν παρίστησι, καθά περ ἔστιν ἐπινοῆσαι ἄπειρα τοιαῦτα, οἷς καὶ ἀντιπαράκειται ἐπιῤῥήματα τὴν αὐτὴν σχέσιν σημαίνοντα, εἰς οἶκον ἀπέρχομαι - οἴκαδε ἀπέρχομαι, ἐξ οἴκου παρεγενόμην - οἴκοθεν παρεγενόμην, ἐν οἴκῳ σε μένω - οἴκοι σε μένω. ταύτης τῆς συντάξεως ἔφαμεν καὶ τὸ

οἰκόνδ' ἐξελεύσομαι

ὡς πρὸς τὸ οἰκαδε, ἀποδείξαντες ὡς δύο μέρη λόγου ἐστὶ τὸ οἰκόνδε. καὶ δὴ τὸ προκείμενον μόριον διὰ τὸ ἐπακολουθῆσαν πάθος τῇ φωνῇ οὐ προφανῆ τὰ τῆς συνταξεως κατέστησε, τῶν οὕτω γινομένων ἁπάντων κατ' οὐδένα τρόπον ἐπισάσεως τυχόντων, καθά περ πρόκειται. παρὰ δὴ τὸ ἀφανές ὄνομα ἀπετελεῖτό τι θηλυκὸν κατὰ παρώνυμον σχηματισμόν, ἀφανία καὶ ἀφάνεια. δισσὰ γὰρ τὰ τοιαῦτα, εὐσεβής - εὐσέβεια, ἀφ' οὗ πάλιν τὰ

εὐσεβίᾳ τέθνηκεν·

εὐμάθεια, ἀλλὰ μὴν καὶ εὐμαθία,

εὐμαθίην ἠτείτο δίδους ἐμέ.

οὕτως ἔχει καὶ τὸ

ἀδρανίη τόδε πολλόν.

παρὰ δὴ οὖν τὸ προκείμενον ὄνομα παρείπετό τις σύνταξις ἐκ γενικῆς πτώσεως τὸ ἐξ ἀφανίας, ὡς καὶ παρὰ τὸ αὐτῆς πάλιν τι ἐγένετο θηλυκὸν ἐξ αὐτῆς, κατ' ἐπιῤῥηματικὴν σύνταξιν, ἐξ αὐτῆς ἴωμεν πρὸς Διονύσιον. παρὰ δὴ τὴν προκειμένην σύνταξιν συγκοπὴ μὲν διὰ τοῦ ᾱ κατὰ μέσην συλλαβὴν ἐγίνετο, 335 μεθ' ὑπερβίβασμοῦ κατὰ τὰ ἄρχον μέρος τοῦ παραλήγοντος ῑ, ὃ δὴ καὶ αἴτιον ἦν τοῦ εἰς ᾱ καταλήγειν τὸ μόριον. καὶ φαίνεται ὅτι ἀναγκαίως καὶ τὸ λῆγον ᾱ μεταλαμβάνει εἰς τὸ η̄,

τοῦ αἰτίου τῆς λήξεως ἀφισταμένου κατὰ τὸ ὑπερβατόν· καὶ οὕτω τὸ ἐξαίφνης ἀποτελεῖται. οὔτε δὲ τὸ ᾱ συγκόπτεσθαι ξένον, ἐπεὶ οὕτως ἔχει τὸ σπάργανον, τὸ ἔδνον, τὸ τέκνον, τὸ δάκνον, τὸ Ἐριχθονίδαι, ἄλλα μυρία· οὔτε μὴν ὑπερβιβάζεσθαι τὰ στοιχεῖα ἐν δισταγμῷ· τὰ γὰρ ἀπειρέσια ἀπερείσια. ὡς δὲ καὶ παρὰ τὸ δόρυ ἡ δόρυος γενική, ὅτε φαμὲν δουρός· γόνυος γοῦνος· ἔφην δὲ ἐν δισταγμῷ, μὴ ἄρα τοῦ δόρατος καὶ γόνατός εἰσι συγκοπαί. Παρὸν δὲ καὶ τοῦ ἀντιπαρακειμένου ἐπιῤῥήματος τὸ πάθος ἐπιδείξαι. ἰδοὺ γὰρ παρὰ τὸ ἀφανές ὄνομα ἦν ἀποτελούμενον ἐπίῤῥημα παρακείμενον ὁμότονον γενικῇ πληθυντικῇ τῇ ἀφανῶν, τὸ ἀφανῶς, ὡς καὶ εὐσεβῶν - εὐσεβῶς· ἃ δὴ ἔφαμεν συνυπάρχειν καὶ συντονοῦσθαι ταῖς τοιαύταις γενικαῖς. ἐφ' οὗ δὴ πάλιν τὸ προκείμενον πάθος ἐπακολουθεῖ. καὶ ἐπεὶ οὐκέτι συνείχετο ὑπὸ τῆς συνούσης γενικῆς διὰ τὸ ἐπακολουθῆσαν πάθος, οὐδὲ τὴν ταύτης τάσιν ἀνεδέχετο· ὡς γὰρ ἔφαμεν, συνυπαρχουσῶν τῶν γενικῶν συνυπάρχει καὶ τὰ τοῦ τόνου, μετῄει οὖν εἰς βαρεῖαν τάσιν, δεόντως καὶ τὸ σ̄ ἀποβάλλον. ἔσθ' ὅτε γὰρ πάλιν ἡ τοιαύτη κατάληξις μετὰ τοῦ προκειμένου τόνου καὶ τὸ σ̄ ἀναδέχεται· ἀποστάντος δὲ τοῦ τόνου ἦν εὔδεκτον συναποστῆναι καὶ τὸ σ̄, καθότι καὶ τῶν εἰς ῶ

λεγόντων ἐπιῤῥημάτων τὴν τάσιν μετελάμβα-
336 νεν, ἃ περ οὐκ ἐπὶ τριγενέσιν ὀνόμασιν ἀνθυ-
πήγετο, ὡς ἔχει τὸ ἔσω, κάτω, κύκλῳ, τόνῳ.
ἔφαμεν δὲ καὶ ἐν ἑτέροις ὡς ἀπειράκις αἱ λέξεις
πρὸς τὰς ἀποβολὰς τῶν στοιχείων καὶ τοὺς
τόνους μεθιστᾶσι. συνεῖχε τὴν ὀξεῖαν τὸ ξ ἐν
τοῖς τοιούτοις ἐπιῤῥήμασιν, ὀδάξ, ὑποδράξ,
ἐκλάξ· ἀλλ' ἐλλεῖψαν ἐν τῷ ὑπόδρα μετέστησε
καὶ τὴν ὀξεῖαν, ὅμοιον αὐτὸ καταστῆσαν τῷ
ῥίμφα, μάλα, αἶψα, τοῖς οὕτω βαρυνομένοις.
ὁμοίως καὶ τὸ σ ἐν τοῖς εἰς ις λήγουσι μετὰ
μακρᾶς τῆς συνούσης κατὰ τὸ παρεδρεῦον,
χωρίς, ἀμφίς, ἀμοιβηδίς· ἀλλ' ἐπεὶ ἐν βαρυ-
τόνοις ἡ ἀποβολὴ τοῦ σ ἐγένετο, ὡς ἐν τῷ
πολλάκις καὶ δεκάκις, καὶ τὸ χωρίς ἀποβάλ-
λον τὸ σ ἐγίνετο χῶρι, ὅμοιον καθεστὸς τῷ
αὖθι καὶ τοῖς παρακειμένοις. ἐδείξαμεν καὶ ἐπὶ
τοῦ δεσποσής, ἐργασής, ὡς τῇ ἀποβολῇ τοῦ
σ ὅμοια ἐγένετο τῷ ἐλάτης, ἀρότης· καὶ διὰ
τοῦτο δεσπότης καὶ ἐργασής κατὰ βαρεῖαν τά-
σιν. πλείστην τῶν τοιούτων παράθεσιν ἐποιη-
σάμην ἐν ἑτέροις. τῇδε οὖν ἐσχηματίσθη καὶ τὸ
ἄφνω. Ἔφαμεν ἐν τοῖς προκειμένοις ταῖς ἐκ προ-
θέσεων γινομέναις παραθέσεσι, καὶ σημαινού-
σαις ἐπιῤῥηματικὴν σχέσιν, ἀντιπαρακεῖσθαι
ἐπιῤῥήματα. καὶ τῷ οὖν ἐξ αὐτῆς παράκειται
τὸ αὐτόθεν, ἴωμεν αὐτόθεν-ἀπέλθωμεν

ἐξ αὐτῆς. οὕτως ἔχει καὶ τὸ

αὐτόθι δ' ἄρα μιν

ἀντὶ τοῦ ἐξ αὐτῆς οὐκ ἄλλοσε παρακλίνοντα. παράκειται οὖν καὶ τῷ ἐξαίφνης τὸ ἄφνω, ἄφνω παρεγένετο ὁ δεῖνα ἐν ἴσῳ τῷ ἐξαίφνης παρεγένετο.

VARIAE LECTIONES

INDEX SIGLORUM.

A. Codex Regius 2548.
B. — — 2547.
C. — — 2549.
D. — Vaticanus.
Dud. — Dudithianus.
M. Editio Aldina.
P. Codex Porti.
Pal. — Palatinus.
S. Editio Sylburgiana.
mg. margo.
om. omittit *vel* omittunt.
pr. prima manus.
rec. recentior manus.
vg. vulgo *vel* vulgata.

Pag. 3 vers. 1. Ἐν — 3, 10 κατεπηγγείλατο] Haec cum indice capitum primum faciunt folium codicis C, a recentiore manu scriptum. Ab A et haec absunt et quae porro leguntur citra penultimam syllabam verbi ἀποτελεῖ p. 4, 7: τελεῖ autem et quae sunt inter hanc vocem et illud παραμβανόμενον p. 16, 25, scripta sunt in foliis septem ab alia manu non recentiore, quae et indicem capitum addidit. 13 εἴληχεν] εἴληφεν mg. S.

4, 1. ἀποτελοῦσι] ἀναπληροῦσι B. ἀποπληροῦσι Dud. Servatam a me plurium librorum lectionem tuetur etiam Priscianus, fidus plerumque Apollonii interpres, p. Putsch. 1036, 3. 6 Articulum τοῦ omittit B. 7 Articulum τὰς omittunt C D M. 8 ἐπιπλοκάς] *Hic nos addidimus* καὶ αἱ συλλαβαὶ τὰς λέξεις, *quod omnino desiderari suspicati sumus.* PORTUS. 9 συλλαβὰς] λόγους B et mg. S. ἀποτελέσει] ἀποτελεῖ mg. S consentiente Prisciano, qui *ordinatio* inquit *intelligibilium imaginem quandam syllabae perficit.* 10 τῆς ἐπιπλοκῆς] Genitivos reposui ex A B C et Prisciano: *adiunctione dictionum.* Vulgo enim τὰς ἐπιπλοκάς. τρόπον] *Hic etiam desiderabantur haec verba* ἐκ τῶν στοιχείων αἱ συλλαβαὶ, καὶ: *quae nos, secuti ordinem praeceptorum, quae continentur in hoc capite, adiecimus.* PORTUS. 11 ἡ λέξις] Sic A cum Prisciano. Vulgo enim αἱ λέξεις. 12 νοητῶν] λέξεων B et mg. S cum Prisciano. ἔστι γοῦν] ἔστιν οὖν A et mg. S. 14 δῆς τὸ αὐτὸ στοιχ. A. τὸ αὐτὸ στοιχ. δῆς B. τὸ αὐτὸ δῆς στοιχ. M S. 16. λέλεγες] Vulgo ἐλέλεκτο ἐλέλεγες. quarum vocum priorem omittunt A C, cum ἐλέλεξεν mutat B: ad alteram haec annotaverat Sylburgius: ἐλέλεγες *si mendo careat, eam duarum initialium litterarum repetitionem habet, quam* ἐλελιχθήναι ἐλελιχθέντες ἐλελιξάμενοι *et similia, sicut in praesenti etiam tempore* ἐλελιζόμεθα *Ionica seu poetica reduplicatione usur-*

